ΠΑΦ. *ἐκ τῶν ἀλιτηρίων σέ φη-*
μι γεγονέναι τῶν τῆς θεοῦ.
ΑΛΛ. *τὸν πάππον εἶναί φημί σου*
τῶν δορυφόρων — ΠΑΦ. *ποίων; φράσον.*
ΑΛΛ. *τῶν Βυρσίνης τῆς Ἱππίου.*
ΠΑΦ. *κόβαλος εἶ.* ΑΛΛ. *πανοῦργος εἶ.*
ΧΟΡ. *παῖ' ἀνδρικῶς.* ΠΑΦ. *ἰοὺ ἰού,*
τύπτουσί μ' οἱ ξυνωμόται.
ΟΙΚ. Α. *παῖ' αὐτὸν ἀνδρειότατα, καὶ*
γάστριζε καὶ τοῖς ἐντέροις
καὶ τοῖς κόλοις
ὅπως κολᾷ τὸν ἄνδρα.
ΧΟΡ. *ὦ γεννικώτατον κρέας ψυχήν τ' ἄριστε πάντων,*

ADNOTATIO CRITICA.

vs. 448 *δορυφόρων* — Kockius. — v. 453 seqq. Demostheni dedi. — vs. 453 *ἀνδρειότατα* Dindorfius. — vs. 456 *ὅπως* Kayserus.

SCRIPTURAE DISCREPANTIA.

RMP, additum est *γ'* post *ἀστρατείας* vocem in *VΓΘΔ*, *εἴκοσι PΓΘΔ*. — vs. 444 *πλεῖον Δ*, correctum est *πλεῖν* ex *πλέον Γ* rasura deleta est una littera ante *ν* in *πλεῖν Θ*. — Omissa est ante versum 445 nota Cleonis *M* versus allantopolae datur *R*, *σὲ φημὶ R σε φημὶ VPΓΘΔ*. — A versu 447 usque ad finem comoediae omnes notae personarum omissae sunt in *Δ* in mediis versibus spatium vacuum relictum est ad indicandam novam personam. — Omissa est Isiciarii nota ante versum 447 *M* Cleoni versus datur *R*, *εἶναι φημι σου V εἶναι φημί σου ΓΘΔPM*. — In versibus 448, 449, 450 pro notis personarum lineolae sunt *M* pro Cleonis ante *ποίων* allantopolae nota est *R*. — Versus 449 Cleoni datur *R*, *τὸν* (pro *τῶν*) *R*, accentus supra *ι* in *ἱππίου* in rasura et a secunda *Θ*. — vs. 450 Transmutatae inter se sunt notae Cleonis et allantopolae *R*. — vs. 451 *παῖ Γ*, *ἰού· ἰού· M ἰού ἰού* correctum est ex *ἰοῦ ἴου V*. — vs. 452 *τύπτουσίν μ' M*. — Omissa est ante versum 453 Demosthenis nota *VM* legitur chori nota in *RΓΘΔP*, *παῖ'* correxit secunda ex *παῖ Γ*, *ἀνδρικώτα R* reliqui libri *ἀνδρικώτατα*, omissum est *καὶ* ante *γάστριζε· M*. — vs. 454 *γαστρί γε R*. — vs. 455 *κώλοις ΔΘΔ κόλοις* correxit secunda ex *κώλοις Γ* supra prius *ό* in *κόλοις* scriptum est *ω P*. — vs. 456 *χ' ὧπως RPA χ' ὤπως V χ' ὤπως Γ χὤπως ΘΔM*, *κολλᾷ M*. — Omissa est ante versum 457 nota personae in *RVΓΘΔP* est nota chori in *ΑM*, *γενικώτατον ΘΔP* alterum *ν* (in *γεννικώτατον*) supra lineam adiectum est *R* supra lineam adscripsit secunda *Γ*, *ἄριστον P*.

καὶ τῇ πόλει σωτὴρ φανεὶς ἡμῖν τε τοῖς πολίταις,
ὡς εὖ τὸν ἄνδρα ποικίλως θ' ὑπῆλθες ἐν λόγοισιν.
πῶς ἄν σ' ἐπαινέσαιμεν οὕτως ὥσπερ ἡδόμε-
σθα;

ΠΑΦ. *ταυτὶ μὰ τὴν Δήμητρά μ' οὐκ ἐλάνθανεν*
τεκταινόμενα τὰ πράγματ', ἀλλ' ἠπιστάμην
γομφούμεν' αὐτὰ πάντα καὶ κολλώμενα.

ΑΛΛ. *οὔκουν μ' ἐν Ἄργει γ' οἷα πράττει λανθάνει.*
πρόφασιν μὲν Ἀργείους φίλους ἡμῖν ποιεῖ·
ἰδίᾳ δ' ἐκεῖ Λακεδαιμονίοις ξυγγίγνεται.

ΧΟΡ. *οἴμοι, σὺ δ' οὐδὲν ἐξ ἁμαξουργοῦ λέγεις;*

ΑΛΛ. *καὶ ταῦτ' ἐφ' οἷσίν ἐστι συμφυσώμενα*
ἐγῷδ'· ἐπὶ γὰρ τοῖς δεδεμένοις χαλκεύεται.

ADNOTATIO CRITICA.

v. 467, qui in codicibus post v. 463 legitur, transposuit G. Hermannus.

SCRIPTURAE DISCREPANTIA.

vs. 458 Omissum est *σωτὴρ R.* — vs. 459 *ἐπῆλθες R ὑπῆλθεν ΑΔ*, *λόγοισι RAPMΘΔ* in *λόγοισιν* secunda addidit *ν Γ.* — vs. 460 *ἐπαινέσωμεν* correxit secunda ex *ἐπαινέσαιμεν Γ*, in rasura pinxit secunda accentum et spiritum super *ὦ* in *ὥσπερ Θ*, *ἡδόμεθα VAPMΓΘΔ.* — vs. 461 *δήμητραν μ' AM*, *ελάνθανε P ἐλάνθανε VAMΔ.* — vs. 462 *τεκτενόμενα P*, *πράγματα ΓP πρᾶγματα V.* — Super versum 463 secunda scripsit *α*, super 464 *γ*, super 465 *δ*, super 466 *ε*, super 467 *β*, super 468 *ϛ*, super 469 *ζ*, super 470 *η*, super 471 *ϑ Γ.* — vs. 463 *γομφούμενα τὰ πάντα VAPΓΘΔ.* — vs. 464 *οὐκ οὖν R*, *μὲν* (pro *μ' ἐν*) *RA*, *ἐν* (*ἓν V*) *ἄργει οἷα* (*ἄργει οἷα A* quoque) *VPMΓΘΔ* (*ἆργει γ' οἷα R*), *πράττεις RVAPMΓΘΔ.* — vs. 465 Super *μῖν* in *ἡμῖν* voce scriptum est *μῶν M*, in rasura et a secunda *ῖ* in *ἡμῖν V*, *ἡμῖν ἀργείους φίλους ποιεῖ* transpositis vocibus *P*, *ποεῖ RVAM* super *οι* in *ποιεῖ* scripsit secunda *ο Γ* post *ο* in *ποεῖ* rasura deleta est una littera *Θ.* — vs. 466 *συγγίνεται M ξυγγίνεται RVAPΓΘΔ.* — vs. 467 Hic versus omissus est in *A* et *Δ*, post versum 463 legitur *RVPM* post versum 471 positus est in *Γ*, sed a secunda litteris illis superscriptis cfr. ad 463 is est restitutus ordo, ut post versum 463 legendus sit. In textu omissus a secunda post versum 471 inter lineas adiectus est *Θ*, *ἐξαμαξουργοῦ Γ*, *ἁμαξαργοῦ Θ ἀμαξουργοῦ P.* — vs. 468 Omissa est ante versum 468 allantopolae nota *RAΘPM*, *οἷσιν ἐστὶ RVΓΘΔPM*, *συμφυσώμεθα R συμφυσσώμεθα M.* — vs. 469 *ἐγὼ δ' P ἔγ' ὦδ' M ἐγώ δ' Δ ἐγὼ δ'* correxit secunda ex *ἐγῶιδ'· V ἐγ' ᾧ δ'* correxit secunda ex *ἐγώ δ' Γ ἐγ' ᾧδ'* correxit secunda ex *ἐγω δ' Θ.*

ΧΟΡ. εὖ γ' εὖ γε, χάλκευ' ἀντὶ τῶν κολλωμένων.
ΑΛΛ. καὶ ξυγκροτοῦσιν ἄνδρες αὖτ' ἐκεῖθεν αὖ,
καὶ ταῦτά μ' οὔτ' ἀργύριον οὔτε χρυσίον
διδοὺς ἀναπείσεις, οὔτε προσπέμπων φίλους,
ὅπως ἐγὼ ταῦτ' οὐκ Ἀθηναίοις φράσω.
ΠΑΦ. ἐγὼ μὲν οὖν αὐτίκα μάλ' εἰς βουλὴν ἰὼν
ὑμῶν ἁπάντων τὰς ξυνωμοσίας ἐρῶ,
καὶ τὰς ξυνόδους τὰς νυκτερινὰς ἐν τῇ πόλει,
καὶ πάνθ' ἃ Μήδοις καὶ βασιλεῖ ξυνόμνυτε,
καὶ τὰκ Βοιωτῶν ταῦτα συντυρούμενα.
ΟΙΚ. Α. πῶς οὖν ὁ τυρὸς οὖν Βοιωτοῖς ὤνιος;
ΠΑΦ. ἐγώ σε νὴ τὸν Ἡρακλέα παραστορῶ.
ΧΟΡ. ἄγε δὴ σὺ τίνα νοῦν ἢ τίνα γνώμην ἔχεις,
νυνί γε δείξεις, εἴπερ ἀπεκρύψω τότε
εἰς τὼ κοχώνα τὸ κρέας, ὡς αὐτὸς λέγεις.
θεύσει γὰρ ᾄξας εἰς τὸ βουλευτήριον,

ADNOTATIO CRITICA.

v. 480 Demostheni dedi. Sententia eadem est, quae est versui 439 i. e. quantum tibi solvam, ut taceas? — Pro ἐν scripsi οὖν. — vs. 481 Fortasse scribendum: ἐγώ σε. — vs. 483 γε δείξεις Cobetus. — vs. 484 τὼ Meinekius.

SCRIPTURAE DISCREPANTIA.

vs. 470 Omissa est ante versum 470 chori nota *P*, εὖ γε εὖ γε *P* εὖ, εὖ γε *A* εὖ γ' εὖ γ' *V* etiam lemma scholii in *V* εὖγ' ευγ', rasura γε correctum est ex γέ *Θ*, ἐχάλκευ' *V*, χάλκευ' correctum est ex χάλκευε punctis deleto ε in exitu vocis *R*. — Omissa est ante versum 471 allantopolae nota *RMA*, συγκροτοῦσιν *ΘA* σὺγκροτοῦσιν *Γ*, αὖτ' *RVAPMΘΓΔ*, in rasura est α in αὖ *Γ*. — vs. 472 Ante hunc versum allantopolae nota est *Θ*, ταῦτα μ' *ΓPM*. — vs. 473 ἀναπίσεις *P*, προπεμπων *R* προπέμπων *M* προσπέμπτων *Δ*, πρὸσπεσὼν *V* super προσπέμπων scripsit secunda: γρ. καὶ προσπεσὼν *Γ*. — Post versum 474 repetitus est versus 471 καὶ συγκροτοῦσιν ἄ. α. ἐ. α. *M*. — vs. 475 Omissum est οὖν *P*. — vs. 476 πάντων *P*. — vs. 477 ἐπὶ τῇ *VMΔ* ἐπὶ τῇ *ΓΘP*. — vs. 478 μέδοις *P*, ξυνώμνυτε *A* ξυνώμνυτε corr命xit secunda in ξυνόμνυτε *Γ* supra ώ in ξυνώμνυτε scripta sunt a secunda: γρ. ό *Θ*. — vs. 479 τὰ κ' *RVΓ*, συντηρούμενα *PM* ξυντυρούμενα *ΘΔ* super ξ litteram in ξυντυρούμενα voce secunda scripsit σ *Γ*. — Versus 480 in libris allantopolae datur, ἐν codices, ὄνιος *P*. — vs. 481 παριστορῶ *M*. — vs. 482 ἢ *V*, ψυχὴν (pro γνώμην) *VAPMΓΘΔ*. — vs. 483 νυνὶ διδάξεις libri, ποτὲ *R*. — vs. 484 ἐς *VΓAΘ* ἐς correctum est ex εἰς *M*, τὰ κόχωνα *R* τὰς κοχώνας (κοχῶνας *Γ*) *VAPMΓΘΔ*, λέγει *RP*. — vs. 485 θύσει *P* θεύσει correxit secunda ex θεύξει *Γ*, αἴξας *A* ἄξας *RVP*

ὡς οὗτος εἰσπεσὼν ἐκεῖ σὲ διαβαλεῖ
ἡμᾶς θ' ἅπαντας καὶ κράγον κεκράξεται.
ΑΛΛ. ἀλλ' εἶμι· πρῶτον δ', ὡς ἔχω, τὰς κοιλίας
καὶ τὰς μαχαίρας ἐνθαδὶ καταθήσομαι.
ΟΙΚ. Α. ἔχε νῦν, ἄλειψον τὸν τράχηλον τουτῳί,
ἵν' ἐξολισθάνειν δύνῃ τὰς διαβολάς.
ΑΛΛ. ἀλλ' εὖ λέγεις καὶ παιδοτριβικῶς ταυταγί.
ΟΙΚ. Α. ἔχε νυν, ἐπέγκαψον λαβὼν ταδί. ΑΛΛ. τί δαί;
ΟΙΚ. Α. ἵν' ἄμεινον, ὦ τάν, ἐσκοροδισμένος μάχῃ.
καὶ σπεῦδε ταχέως. ΑΛΛ. ταῦτα δρῶ. ΟΙΚ. Α. μέ-
μνησό νυν
δάκνειν, καταβάλλειν, τοὺς λόφους παρεσθίειν,
χὤπως τὰ κάλλαι' ἀποφαγὼν ἥξεις πάλιν.

ADNOTATIO CRITICA.

vs. 487 κράγον Meinekius. θ' post ἡμᾶς e coniectura adieci. — In versibus 490—497, quae in codicibus choro tribuuntur, danda esse Demostheni vidit Engerus. — vs. 496 παρεσθίειν Meinekius.

SCRIPTURAE DISCREPANTIA.

ἀΐξας Δ lemma scholii in V θεύσει γὰρ ἀίξας. — vs. 486 οὗτως superscripto super ω a secunda ο Γ, ἐμπεσὼν VΑΡΜΓΘΔ, ἐκεῖσε, διαβαλεῖ Μ ἐκεῖσε· διαβαλεῖ Γ ἐκεῖσε διαβαλεῖ reliqui libri, nisi quod in V διαβαλεῖ correxit secunda ex διαβάλει. — vs. 487 ἡμᾶς ἅπαντας codices, κεκραγὸν (pro καὶ κράγον) R κεκραγὼς Μ καὶ κραγὸν VΡΓ καὶ κραγὼν ΑΔ κραγὸν correxit secunda ex κραγὼν Θ. — vs. 489 ἐνθαδὶ correctum est ex ἐνθαδὴ V, κατασθήσομαι Ρ. — Versus 490 et 491 choro dantur. RVΑΡΜΓΘ, νῦν RVΡΜΓΘΔΑ, τουτονὶ Δ τουτωί correxit secunda ex τουτονί Θ. — vs. 491 ἐξολισθαίνειν ΑΡΜΓΘΔ, διὰ βολάς V. — vs. 492 In rasura est κ in παιδοτριβικῶς Θ, ταῦτά γε ΘΓΔΡ ταῦτὰ γε Α ταῦτα γε Μ ταῦτα γε rasura est supra τα alterum V. — Ante versum 493 in codicibus est chori nota, omissa est spatio relicto in medio versu ante τὶ δαί· (sic) allantopolae nota in Μ, νῦν RVΡΜΓΘΔΑ, ἐπέγκαμψον RΜ, τὰδί. R ταδί: correctum est ex ταδὶ: V. — vs. 494 Ante versum chori nota est in RVΓΘΑΡ pro nota personae lineola est in Μ, ἄμυνον Μ, ὦ τ' ἂν R, τὰν V τᾶν ΡΜΓΘΔΑ, ἐσκορδισμένος correctum est ex ἐσκορδίσμενος R. — vs. 495 Omissae sunt notae allantopolae et Demosthenis Μ, ante μέμνησο pro Demosthenis est chori nota RVΑΡΓΘ, νῦν RVΡΜΓΘΔΑ. — vs. 496 καταβάλλει Α καταβάλλειν a secunda adiectum est ν et super κατα scriptum a secunda δια Γ διαβάλλειν RVΡΜ, κατεσθίειν codices. — vs. 497 χ'ώπως V χῶπως Μ χ' ὥπως Ρ χῷπως Θ χ' ὤπως Γ ὅπως Α, post τὰ una littera rasura deleta est, σ, ut videtur Θ, καλλας' ΘΔ, ἀποφαγὼν

ΧΟΡ. ἀλλ' ἴθι χαίρων, καὶ πράξειας
κατὰ νοῦν τὸν ἐμόν, καί σε φυλάττοι
Ζεὺς ἀγοραῖος· καὶ νικήσας
αὖθις ἐκεῖθεν πάλιν ὡς ἡμᾶς
ἔλθοις στεφάνοις κατάπαστος.
ὑμεῖς δ' ἡμῖν πρόσχετε τὸν νοῦν
χαίροντες τοῖς ἀναπαίστοις.
εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς
ἠνάγκαζεν λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι,
οὐκ ἂν φαύλως ἔτυχεν τούτου· νῦν δ' ἄξιός ἐσθ' ὁ ποιητής,
ὅτι τοὺς αὐτοὺς ἡμῖν μισεῖ, τολμᾷ τε λέγειν τὰ δίκαια,
καὶ γενναίως πρὸς τὸν Τυφῶ χωρεῖ καὶ τὴν ἐριώλην.
ἃ δὲ θαυμάζειν ὑμῶν φησιν πολλοὺς αὐτῷ προσιόντας,

ADNOTATIO CRITICA.

vs. 503 *πρόσχετε* Bentleius. — vs. 505 *χαίροντες* Meinekius. — Quae in codicibus post *τοῖς ἀναπαίστοις* leguntur: *ὦ παντοίας κ. τ. λ.* spuria esse intellexit G. Hermannus. — vs. 506 Alluditur ad antiquioris cuiusdam poetae comoediam, in qua et ipsa Equites agebant chori partes. Hec pertinet etiam ad v. 589.

SCRIPTURAE DISCREPANTIA.

correxit secunda ex *ἀποφυγὼν Γ*. — Ante versum 498 est *κομμάτιον R* *κόμμ^α χοροῦ Γ κομμάτιον τοῦ χοροῦ Θ* nulla addita nota choro continuatur in *VAM*. — vs. 499 *καί* correctum est ex *καὶ V*. — vs. 500 *ζεῦς V*. — vs. 501 *ὡς ἐφ' ἡμᾶς M*. — vs. 503 *προσέχετε* codices. — vs. 505 *καὶ τοῖς ἀναπαίστοις AΘΓΔ τοῖς ἀναπαίστοις* reliqui, omissum est in codicibus *χαίροντες*. — Secuntur in codicibus: *ὦ παντοίας ἤδη μούσης πειραθέντες καθ' ἑαυτούς. (καθεαυτούς R)*. — vs. 507 Ante versum 507 est *παράβασις RΓP* a secunda Θ, omissa sunt, spatio vacuo relicto, tria vocabula: *ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς R*, *κωμοδιδάσκαλος P* in rasura pinxit secunda *οδι* in *κωμῳδοδιδάσκαλος Γ κωμωδοδιδάσκαλος* correxit secunda ex *κωμωδιοδάσκαλος Θ κωμωδιοδάσκαλος Δ*. — vs. 508 *ἠνάγκασεν R ἠνάγκασε M*, *ἔπη λέξοντας ἐς τὸ VAΓΘΔ ἐπιλέξοντας ἐς τὸ* (omisso *ἔπη*) *P*. — vs. 509 *ἔτυχε RVAΘPM ἔτυχε* correctum est ex *ἔτυχεν Δ*, *ἄξιος ἔσθ' RVΓΘPM*. — vs. 510 *ὑμῖν M*, *τὲ ΘPΔ*, *μ* in *μισεῖ* in rasura est *Δ*. — vs. 511 *τυφὼ AΔ τυφὼ* correxit secunda ex *τυφῶ Θ*, *χωρεῖν AΓΘΔ*. — vs. 512 *φησὶν RΓ*

καὶ βασανίζειν, πῶς οὐχὶ πάλαι χορὸν αἰτοίη καθ' ἑαυτόν,
ἡμᾶς ὑμῖν ἐκέλευε φράσαι περὶ τούτου. φησὶ γὰρ ἁνὴρ
οὐχ ὑπ' ἀνοίας τοῦτο πεπονθὼς διατρίβειν, ἀλλὰ νομίζων
κωμῳδοδιδασκαλίαν εἶναι χαλεπώτατον ἔργον ἁπάντων·
πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν ὀλίγοις χαρίσασθαι·
ὑμᾶς τε πάλαι διαγιγνώσκων ἐπετείους τὴν φύσιν ὄντας,
καὶ τοὺς προτέρους τῶν ποιητῶν ἅμα τῷ γήρᾳ προδιδόντας·
τοῦτο μὲν εἰδὼς ἅπαθε Μάγνης ἅμα ταῖς πολιαῖς κατιούσαις,
ὃς πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τροπαῖα·
πάσας δ' ὑμῖν φωνὰς ἱεὶς καὶ ψάλλων καὶ πτερυγίζων

ADNOTATIO CRITICA.

vs. 513 *πῶς* Bentleius. — vs. 514 *ἀνὴρ* Dindorfius.

SCRIPTURAE DISCREPANTIA.

φησὶ A Δ φησι Θ P M, αὐτῷ A. — vs. 513 *ὡς* codices, *οὐ Δ οὐχὶ* correxit secunda ex *οὐ Θ.* — vs. 514 *ἐκέλευσε V P Θ Δ ἐκέλευε* inter *υ* atque *ε* litteras supra lineam adscripto a secunda *σ Γ*, *φράζειν V* super *σαι* in *φράσαι* secunda scripsit *ζειν Γ*, *ἀνηρ* (compendio pictum) *R ἀνὴρ V A P M Γ Θ Δ.* — vs. 515 *πεπονθῶς V πεποθῶς Δ.* — vs. 516 *κωμωδιδασκαλίαν P κωμωδιοδιδασκαλίαν A κωμῳδιοδιδασκαλίαν Δ* rasura deleta est una littera ante *ο* in *κωμωδοδιδασκαλίαν Θ* in rasura secunda pinxit *ο* in *κωμωδοδιδασκαλίαν Γ*, *ἀπάντων V.* — vs. 517 *ὀλίγοις πανυ χαρίσασθαι R ὀλίγας ἤδη χαρίσασθαι Δ ὀλίγοις ἤδη χαρίσασθαι V A P Θ Γ*, *γὰρ ἤδη* (pro *γὰρ δὴ*) *Γ Θ Δ P.* — vs. 518 *ἡμᾶς Γ*, *τὲ R P*, *διαγινώσκων R V Γ P M* inter *ι* et *ν* litteras in voce *διαγινώσκων* supra lineam pinxit secunda *γ Θ*, *ἐπαιτίους P.* — vs. 519 *γῆρα R V*, omissum est *τοὺς P.* — vs. 520 *ἃ 'πάθε Γ P ἃ "παθε A ἃ πάθε R Θ Δ*, *μάγνις Δ*, *ἀμα V*, *κατιοῦσαις R.* — vs. 521 *νίκησ' Θ*, *ἵστησε Γ ἔστησεν A*, *τρόπαια R A Θ Δ P M.* — vs. 522 *πᾶσας Γ*, *ἡμῖν Γ P*, *ἱεὶς Θ Δ ἱεὶς* correctum ex *ἱείς M*, *πτεριγίζων Γ.*

καὶ λυδίζων καὶ ψηνίζων καὶ βαπτόμενος βατραχείοις
οὐκ ἐξήρκεσεν, ἀλλὰ τελευτῶν ἐπὶ γήρως, οὐ γὰρ ἐφ' ἥβης,
ἐξεβλήθη, πρεσβύτης ὢν ὅτι τοῦ σκώπτειν ἀπελείφθη·
εἶτα Κρατίνου μεμνημένος, ὃς πολλῷ ῥεύσας ποτ' ἐπαίνῳ
διὰ τῶν ἀφελῶν πεδίων ἔρρει, καὶ τῆς στάσεως παρασύρων
ἐφόρει τὰς δρῦς καὶ τὰς πλατάνους καὶ τοὺς ἐχθροὺς προθελύμνους·
ᾆσαι δ' οὐκ ἦν ἐν ξυμποσίῳ πλήν, Δωροῖ συκοπέδιλε,
καί, τέκτονες εὐπαλάμων ὕμνων· οὕτως ἤνθησεν ἐκεῖνος.
νυνὶ δ' ὑμεῖς αὐτὸν ὁρῶντες παραληροῦντ' οὐκ ἐλεεῖτε,
ἐκπιπτουσῶν τῶν ἠλέκτρων, καὶ τοῦ τόνου οὐκ ἔτ' ἐνόντος,
τῶν θ' ἁρμονιῶν διαχασκουσῶν· ἀλλὰ γέρων ὢν περιέρρει,
ὥσπερ Κοννᾶς, στέφανον μὲν ἔχων αὖον, δίψῃ δ' ἀπολωλώς,

SCRIPTURAE DISCREPANTIA.

vs. 523 *ψανίζων P*, *βατραχίοις Γ*. — vs. 524 *ἐπιγήρως R Γ*, *τελευτὼν P*, *ἐφήβης R Γ*. — vs. 525 *ἐξεβλήθη· πρεσβύτης ὢν ὅτι* interpunctum est *R* *ἐξεβλήθη πρεσβύτης ὤν· ὅτι Γ Α Μ* nulla est interpungendi nota *V Θ P*, *σκόπτειν P*, in *σκώπτειν* in rasura et a secunda *ειν Γ*, *ἀπελείφθη* correctum est ex *ἀπελείφθει R*. — vs. 526 *τότ' Θ Δ*, *πότ' R Γ P M*, in rasura est spiritus super *ε* in *ἐπαίνω Θ*. — vs. 527 *ἀφελὼν P*, *παιδίων Α Θ Δ* super *αι* in *παιδίων* secunda scripsit *ε Γ*, *τάσεως M*. — vs. 528 *προθελυμίνους P*. — vs. 529 *ἇισαι R*, *ἐνῆν R*, *σιμποσίῳ R Α Μ* *συμποσίω V Θ*, *δοροῖ R* post *οῖ* in *δωροῖ* rasura deleta est una littera *Γ*, *συκοπέδιλω· P*, *υ* littera in *συκοπέδιλε* a secunda supra lineam adiecta est *Γ*. — vs. 530 *εὐπαλάμνων M*, *ἐκεῖνος V*, *ἤνθησε κεῖνος P* *ἤνθησ' ἐκεῖνος Α Γ Θ Δ*. — vs. 531 *νῦν R*, *νυνί δ' ἡμεῖς M*. — vs. 532 *ἠλέκτρων Γ Θ Δ*, *οὐκ ἐοντος R* *οὐκέτ' ἐνόντος Α Θ Δ* *οὐκέτ' ὄντος M*. — vs. 533 *ν* in *τῶν* addidit secunda *Γ*, *ἀλλὰ γὰρ γέρων P Γ Θ Δ*. — vs. 534 *ὥσπερ Γ κοννὰς R*, omissum est *αὖον P M Α Θ Δ* a secunda supra lineam adiectum est *αὖον Γ*, *δίψει V M* super

ὃν χρῆν διὰ τὰς προτέρας νίκας πίνειν ἐν τῷ πρυτανείῳ,
καὶ μὴ ληρεῖν, ἀλλὰ θεᾶσθαι λιπαρὸν παρὰ τῷ Διονύσου.
οἵας δὲ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο καὶ στυφελιγμούς·
ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς ἀριστίζων ἀπέπεμπεν,
ἀπὸ κραμβοτάτου στόματος μάττων ἀστειοτάτας ἐπινοίας·
χοὖτος μέντοι μόνος ἀντήρκει, τοτὲ μὲν πίπτων, τοτὲ δ' οὐχί.
ταῦτ' ὀρρωδῶν διέτριβεν ἀεί, καὶ πρὸς τούτοισιν ἔφασκεν
ἐρέτην χρῆναι πρῶτα γενέσθαι, πρὶν πηδαλίοις ἐπιχειρεῖν,
κᾆτ' ἐντεῦθεν πρωρατεῦσαι, καὶ τοὺς ἀνέμους διαθρῆσαι,
κᾆτα κυβερνᾶν αὐτὸν ἑαυτῷ. τούτων οὖν οὕνεκα πάντων,

ADNOTATIO CRITICA.

vs. 536 Διονύσου Elmsleius.

SCRIPTURAE DISCREPANTIA.

η in δίψη secunda pinxit ει Θ Δ super ει in δίψει secunda pinxit η Γ. — vs. 535 χρὴ R A P Γ Θ Δ χρῆ V (χρῆν solus M). — vs. 536 λιπαρὸν θεᾶσθαι transpositis vocibus A Γ Θ Δ τῶ διονύσῳ codices. — vs. 537 ἡμῶν A, ἠνέσχετο correctum est ex ἤνεσχετο V, στυφελισμούς V M Δ στυφελισμοὺς Γ A P super σ inter ι et μ litteras in στυφελισμούς voce scripsit secunda: γρ. γ Θ. — vs. 538 σμικρὰς R μικρᾶς A P Θ Δ super μ in μικρᾶς pinxit σ secunda Γ, ἡμᾶς P, ἔπεμπεν Θ Δ A supra ἔ in ἔπεμπεν pictum est ἀπ a secunda et deletus est qui erat super ἔ spiritus Γ, ἀπέμεππεν (sic) correctum est ex ἀπέμενπεν V. — vs. 539 ἐτινοίας P. — vs. 540 χ'οὖτος R χοὖτος M Θ χ'οὖτος V Γ P, ποτὲ — ποτὲ A, οὐχί correctum est ex οὔχι V. — vs. 541 ὀρρωδῶν correctum est ex ὀρρωδῶν, ut videtur, V, correctum est alterum τ in τούτοισιν Δ, τούτοισιν correctum est ex τοῦτοισιν V. — vs. 542 πρῶτον R V A P Γ Θ Δ (πρῶτα solus M). — vs. 543 κἀντεῦθεν (pro κᾆτ' ἐντεῦθεν) Θ Δ, πρωρατεῦσαι A Θ V Γ P M. — vs. 544 Omissum est οὖν V Γ A Θ Δ P M, ἕνεκα R εἵνεκα A Θ Δ οὕνεκα P super εἵ in εἵνεκα se-

ὅτι σωφρονικῶς κοὐκ ἀνοήτως ἐσπηδήσας ἐφλυάρει,
αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψατ' ἐφ' ἕνδεκα κώπαις,
θόρυβον χρηστὸν ληναΐτην,
ἵν' ὁ ποιητὴς ἀπίῃ χαίρων,
κατὰ νοῦν πράξας,
φαιδρὸς λάμποντι μετώπῳ.
ἵππι' ἄναξ Πόσειδον, ᾧ
χαλκοκρότων ἵππων κτύπος
καὶ χρεμετισμὸς ἀνδάνει,
καὶ κυανέμβολοι θοαὶ
ἱστοφόροι τριήρεις,
μειρακίων θ' ἅμιλλα λαμ-
πρυνομένων ἐν ἅρμασιν
καὶ βαρυδαιμονούντων,
δεῦρ' ἔλθ' ἐς χορόν, ὦ χρυσοτρίαιν', ὦ
δελφίνων μεδέων Σουνιάρατε,

ADNOTATIO CRITICA.

vs. 555 ἱστοφόροι mea est coniectura vid. Hesychium.

SCRIPTURAE DISCREPANTIA.

cunda scripsit ου *Γ* rasura deletus est, qui erat super οὗ in οὕνεκα circumflexus *V*. — vs. 545 κ'οὐκ' *R* κ' οὐκ *V* ἐσηδήσας *R* ὡς πηδήσας *P*. — vs. 546 παρὰ πέμψατ' *V* παραπέμψατε *PM* παραπέμψαντες *ΘΔ* παραπέμψαντος deleto ος lineolis traductis a secunda, ut videtur, *Γ*. — vs. 547 λιναίτην *R*. — vs. 548 ἀπὶῃ correxit secunda ex ἀπῇ, ut videtur, *Γ*. — vs. 550 φαιδρῶς *A* φαιδρῶς super ῶ picto a secunda ο *Γ*, μετώπῳ correxit secunda ex μετώπω *Θ*, προσώπῳ superscriptis a secunda γρ. μετώπῳ *M*. — Ante versum 551 est στροφὴ ἡ καὶ ὠ̂ *V* στροφὴ ἡ καὶ ἀοιδή *Γ* στρο^φ 'κ/ ὠ̂ *P* a secunda ᾠδὴ *Θ*. — vs. 551 ἱππιάναξ *ΘΔ*, ὦ *P* ᾧ correxit secunda ex ὦ *Θ*. — vs. 553 ἀνδάνει *RVAPΓΘ*. — vs. 555 μισθοφόροι codices, τρίηρεις *R*. — vs. 556 ἅμιλλα *V*. — vs. 557 ἅρμασι *VAPMΓΘΔ* sed in *Δ* in rasura est ἅρμ. — vs. 558 βαρυδαιμοναύντων *P*. — vs. 559 ἔλθ' *Γ*, εἰς *PΘΔ*, χῶρον *Δ* χῶρον secunda correxit in χορὸν superscripto ο super ῶ et adiecto accentu gravi, quem vocant, super ὸν *ΓΘ*. — vs. 560 σονιάρατε· *R* σου in σουνιάρατε a secunda supra lineam adiectum est *Θ*, με· δέων· *P*, versum 560 in hunc modum interpunctione, quam vocant, distinctum exhibet *R*: δελφίνων μεδεων σονιάρατε·.

ὦ Γεραίστιε παῖ Κρόνου,
Φορμίωνί τε φίλτατ', ἐκ
τῶν ἄλλων τε θεῶν Ἀθη-
ναίοις πρὸς τὸ παρεστός.
εὐλογῆσαι βουλόμεσθα τοὺς πατέρας ἡμῶν, ὅτι
ἄνδρες ἦσαν τῆσδε τῆς γῆς ἄξιοι καὶ τοῦ πέπλου,
οἵτινες πεζαῖς μάχαισιν ἔν τε ναυφράκτῳ στρατῷ
πανταχοῦ νικῶντες ἀεὶ τήνδ' ἐκόσμησαν πόλιν·
οὐ γὰρ οὐδεὶς πώποτ' αὐτῶν τοὺς ἐναντίους ἰδὼν
ἠρίθμησεν, ἀλλ' ὁ θυμὸς εὐθὺς ἦν Ἀμυνίας·
εἰ δέ που πέσοιεν ἐς τὸν ὦμον ἐν μάχῃ τινί,
τοῦτ' ἀπεψήσαντ' ἄν, εἶτ' ἠρνοῦντο μὴ πεπτωκέναι,
ἀλλὰ διεπάλαιον αὖθις. καὶ στρατηγὸς οὐδ' ἂν εἷς
τῶν πρὸ τοῦ σίτησιν ᾔτησ' ἐρόμενος Κλεαίνετον·
νῦν δ' ἐὰν μὴ προεδρίαν φέρωσι καὶ τὰ σιτία,

ADNOTATIO CRITICA.

vs. 570 Ἀμυνίας Berglerus.

SCRIPTURAE DISCREPANTIA.

vs. 562 *φορμίων A* in *φορμίωνί* in rasura et a secunda *νί Γ φορμίωνί* correxit secunda ex *'φορμωνί V*. — vs. 563 *τὲ Θ Δ* omissum est *τε M*. — vs. 564 *το* correctum est ex *τρο R*, *παρεστώς VΓΘ παρεστὼς ΑΡΜΔ*. — vs. 565 Ante versum est *παρεπίγραμμα R ἐπίρρημα ΓΘΡ*, *βουλόμεθα ΑΡΘΓΔ βουλόμεσθ' V* et lemma scholii in *V βουλόμεθα*. — vs. 566 Omissum est *τῆς RΑΘΔ* additum est *τῆς* supra lineam a secunda *Γ*, *ου* in *τοῦ* in rasura et a secunda *Γ*. — vs. 569 *οὐδεὶς γὰρ πώποτ' VΡΓΘΔ οὐδεὶς γὰρ οὐπώποτ' Α*, *πῶποτ' M*, *ν* in *αὐτῶν* adiecit secunda *Γ*, *ἰδὼν* correctum est ex *ἰδῶν V*. — vs. 570 Ante *ἀμυνίας* spatium est *Δ*. — vs. 571 *δέ ποτε P*, *πέσειεν Γ*, *ὦμον R ὦμον VΑΡΜΓΘΔ*. — vs. 572 *ταῦτ' VΡΜΓΘΔ*, *ἀπεψήσαντ'* correxit secunda ex *ἀπέψησαντ' V*, ante *μὴ* rasura deleta est una littera *Θ* ante *μὴ* spatium est *Δ*, *πεπωκέναι P*. — vs. 573 *π* in *διεπάλαιον* in rasura pinxit secunda *Θ*, *οὐδ' V*, *στρατιγὸς P*, *εἰς R*. — vs. 574 Omissum est *τῶν A* in *τῶν* adiectum est *ν* a secunda *Γ*, *προτοῦ RMP*, *ου* in *τοῦ* in rasura pictum a secunda *Θ*, *σίτισιν ΔΘ*, *ᾔτησεν VΑΜΔΓ ἥτησεν P ᾔτησεν* correxit secunda ex *ἤτησεν Θ*, acutum super *αί* in *κλεαίνετον* pinxit secunda *Θ*. — vs. 575 *δὲ ἐὰν Δ δ' ἂν* correxit secunda ex *δὲ ἐὰν Θ δ' ἐὰν* correxit secunda ex *δὲ τὰν Γ*, *προσεδρείαν ΔΘ προδρίαν P* in *προεδρίαν* inter *ο* et *ε* litteras supra lineam adscriptum est a secunda *σ A* post *προ* in *προεδρίαν* voce rasura deleta est una littera *Γ*.

οὐ μαχεῖσθαί φασιν. ἡμεῖς δ' ἀξιοῦμεν τῇ πόλει
προῖκα γενναίως ἀμύνειν καὶ θεοῖς ἐγχωρίοις.
καὶ πρὸς οὐκ αἰτοῦμεν οὐδέν, πλὴν τοσουτονὶ μόνον·
ἤν ποτ' εἰρήνη γένηται καὶ πόνων παυσώμεθα,
μὴ φθονεῖθ' ἡμῖν κομῶσι μηδ' ἀπεστλεγγισμένοις.
ὦ πολιοῦχε Παλλάς, ὦ
τῆς ἱερωτάτης, ἁπα-
σῶν πολέμῳ τε καὶ ποιη-
ταῖς δυνάμει θ' ὑπερφερού-
σης μεδέουσα χώρας,
δεῦρ' ἀφικοῦ λαβοῦσα τὴν
ἐν στρατιαῖς τε καὶ μάχαις
ἡμετέραν ξυνεργὸν
Νίκην, ἣ χορικῶν μούστιν ἑταίρα,
τοῖς τ' ἐχθροῖσι μεθ' ἡμῶν στασιάζει.
νῦν οὖν δεῦρο φάνηθι· δεῖ
γὰρ τοῖς ἀνδράσι τοῖσδε πά-
σῃ τέχνῃ πορίσαι σε νί-
κην εἴπερ ποτὲ καὶ νῦν.

ADNOTATIO CRITICA.

vs. 582 Virgulam post *ἱερωτάτης* adiecit Dindorfius. — vs. 586 *ἀφικοῦ* Dindorfius. — vs. 589 *μούστιν* e coniectura scripsi.

SCRIPTURAE DISCREPANTIA.

vs. 576 *φασίν RMΘ φασὶν VΓΔPA*. — vs. 577 *θεοὶς R*. — vs. 578 *πρὸ σου καὶ τοῦμεν R*. — vs. 579 *παυσόμεθα V*. — vs. 580 *φθονεῖσθ' RM κομῶσιν RM μὴδ' RVΓΘPM, ἀπεστεγγισμενοις R ἀπεστλεγισμένοις A ἀπεστελεγγισμένοις ΘΔ λε* in *ἀπεστλεγγισμένοις* in rasura et a secunda *Γ*. — Ante versum 581 est *αντωδή καὶ αντιστροφή R αντωδη ἢ καὶ αντιστροφος V ἀντῳδὴ ἢ καὶ ἀντίστροφος Γ αντωδὴ Θ*. — vs. 581 *παλλᾶς V παλὰς P*. — vs. 583 *τὲ RMΓΘΔ*. — vs. 584 *δ' ὑπερφερούσης P*. — vs. 586 *αφίκου R ἀφίκου VAPMΓΘΔ*. — vs. 587 *στρατιαῖς* correctum est ex *στρατηαῖς*, ut videtur, *V*. — vs. 589 *ἣ P, χορικὸν Δ ἐστὶν RΓΘΔA ἔστιν* reliqui libri, *ἑτέρα R ἑταῖρα V* et sic etiam lemma scholii in *V*. — vs. 590 *ἐχθροῖς AΘΔ ι* in exitu *ἐχθροῖσι* vocis adiecit secunda *Γ*, *μεθημῶν R*. — vs. 592 *ἀνδρᾶσι VP*. — vs. 593 *πορίσαί σε ΘΔ*. — vs. 594 *εἴπερ ποτε RMP εἴ πέρ ποτε V εἴπερ πότε Γ εἴπερ τότε Δ εἴπέρ ποτε* correxit secunda ex *εἴπερ τότε Θ*.

ἃ ξύνισμεν τοῖσιν ἵπποις, βουλόμεσθ' ἐπαινέσαι.
ἄξιοι δ' εἴσ' εὐλογεῖσθαι· πολλὰ γὰρ δὴ πράγματα
ξυνδιήνεγκαν μεθ' ἡμῶν, εἰσβολάς τε καὶ μάχας.
ἀλλὰ τἀν τῇ γῇ μὲν αὐτῶν οὐκ ἄγαν θαυμάζομεν,
ὡς ὅτ' εἰς τὰς ἱππαγωγοὺς εἰσεπήδων ἀνδρικῶς,
πριάμενοι κώθωνας, οἱ δὲ σκόροδ' ἐλάας κρόμμυα·
εἶτα τὰς κώπας λαβόντες ὥσπερ ἡμεῖς οἱ βροτοὶ
ἐμβαλόντες ἀνεβρύαξαν, ἱππαπαῖ, τίς ἐμβαλεῖ;
ληπτέον μᾶλλον. τί δρῶμεν; οὐκ ἐλᾷς, ὦ σαμφόρα;
ἐξεπήδων τ' ἐς Κόρινθον· εἶτα δ' οἱ νεώτατοι
ταῖς ὁπλαῖς ὤρυττον εὐνὰς καὶ μετῇσαν στρώματα·
ἤσθιον δὲ τοὺς παγούρους ἀντὶ ποίας Μηδικῆς,
εἴ τις ἐξέρποι θύραζε, κἀκ βυθοῦ θηρώμενοι·
ὥστ' ἔφη Θέωρος εἰπεῖν Καρκίνον Κορίνθιον·

ADNOTATIO CRITICA.

vs. 600 δὲ σκόροδ' ἐλάας κρόμμυα· Bergkius.

SCRIPTURAE DISCREPANTIA.

Ante versum 595 est αντεπιρρημα *R* ἀντῐ (τ ρρ η superscr.) *V* ἀντεπῑ (ρρη superscr.) *Γ* ἀντεπιρρημα *Θ* ἀντεπίρρημα *P*. — vs. 595 τοῖς ἵπποις *A Θ Δ* τοῖσιν (in rasura est σιν) ἵπποις *P* in τοῖσιν ἵπποις a secunda additum est ιν *Γ*, βουλομεθ' *R* βουλόμεθ' *M Θ Δ* in βουλόμεσθ' secunda adiecit σ *Γ*. — vs. 596 ἄξιοί δ' *Θ Δ*, εἰς *R* εἴσ' *Γ Θ Δ P M* εἴσ' *V* εὐλογεῖσθε *A*. — vs. 597 εἰσβουλάς *R* ἐσβολάς *V P Γ Θ Δ*, super μάχας superscripta sunt γρ. νίκας *M*. — vs. 598 ἀλλ' ατ' ἂν *P*, τ' ἂν *R V Γ* τ' ἂν *Δ* in τἂν rasura super α et accentus pictus a secunda *Θ*. — vs. 599 Supra ἱππαγωγοὺς scripsit secunda: γρ. ἐπαγωγοὺς *V*. — vs. 600 οἱ δὲ σκόροδα καὶ κρόμμυα libri omnes. — vs. 601 κῶπας *Γ*, βροντοὶ *P* βροτοὶ correxit secunda ex βρωτοὶ, ut videtur, *V*. — vs. 602 ἐκβαλόντες *ΘΔ*, ἱππαπαὶ *R Θ P* ἱππαπαί *V Γ A M* ἱππ(α)παὶ correctum est ex ἱπ(α)εππαὶ *Δ*, τὶς *M Δ*. — vs. 603 τὶ *M Δ*, σαπφόρα *A M Γ Θ* ελ ὦσαπφοτερα (pro ἐλᾷς, ὦ σαμφόρα) *Δ*. — vs. 604 τὲ (pro τ') *A Θ Δ* τ' correxit secunda ex τὲ *Γ*, εἰς *P Γ Θ Δ*, γ' οἱ νεώτεροι *V A P Γ Θ Δ*. — vs. 605 ὤρυσσον *Θ Δ* ὤρυσσαν superscriptis a secunda: γρ. ὤρυττον *Γ*, μετήεσαν *P* μετῆσαν *R V Γ Θ M*, βρώματα *R*. — vs. 606 Omissum est δὲ *M*, πόας *M* ποίας correxit secunda ex πόας *V* πόας correxit secunda ex ποίας *Γ* πόας rasura deleta una littera post ο, *Θ*. — vs. 607 ἐξέρπει *V Γ Θ Δ*, κακ' *R* κ'ακ *V*, θυρώμενοι *M* θηρώμενος *P*. — vs. 608 ἔφθη *V P* supra η in

δεινά γ', ὦ Πόσειδον, εἰ μηδ' ἐν βυθῷ δυνήσομαι,
μήτε γῇ μήτ' ἐν θαλάττῃ διαφυγεῖν τοὺς ἱππέας.
ΧΟΡ. ὦ φίλτατ' ἀνδρῶν καὶ νεανικώτατε,
ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα·
καὶ νῦν ἐπειδὴ σῶς ἐλήλυθας πάλιν,
ἄγγειλον ἡμῖν πῶς τὸ πρᾶγμ' ἠγωνίσω.
ΑΛΛ. τί δ' ἄλλο γ' εἰ μὴ Νικόβουλος ἐγενόμην;
ΧΟΡ. νῦν ἄρ' ἄξιόν τι πᾶσίν ἐστιν ἐπολολύξαι.
ὦ καλὰ λέγων, πολὺ δ' ἀμείνον' ἔτι τῶν λόγων
ἐργασάμεν', εἴθ' ἐπέλ-
θοις ἅπαντά μοι σαφῶς·
ὡς ἐγώ μοι δοκῶ
κἂν μακρὰν ὁδὸν διελθεῖν
ὥστ' ἀκοῦσαι. πρὸς τάδ', ὦ βέλ-
τιστε, θαρρήσας λέγ', ὡς ἅ-

ADNOTATIO CRITICA.

vs. 609 *μηδ'* Brunckius. — vs. 610 *μήτε γῇ* Bentleius. — vs. 615 *Νικόβουλος* Berglerus. — vs. 616 *τι* e coniectura adieci. — vs. 617 *ἀμείνον'* Berglerus. — vs. 618 *ἐργασάμεν'* Bentleius.

SCRIPTURAE DISCREPANTIA.

ἔφη pinxit secunda *θ* *Γ* expunctum est a secunda *θ* in *ἔφθη* *M*, *καρκῖνον* *ΓΘΔ*. — vs. 609 *δεινὰ γ'* *RVM* *δυνά γ'* *ΘΔ*, *μὴ τ'* *R* *μητ'* *AΔ* *μήτ'* *VΓΘPM*. — vs. 610 *μήτ' ἐν γῆ* (*γῆ* *VAP*) codices, *θαλάσσῃ* *R* *θαλάσση* *P*. — Omissa est nota chori ante versum 611 *M*. — vs. 611 *γεννικώτατε* *A* *γενικώτατε* *ΘΔ* supra *γενικώτατε* scripsit secunda: *γρ. καὶ νεανικώτατε* *Γ*. — vs. 612 *φροτίδα* *P*. — vs. 613 *σῷς* *Γ*. — vs. 614 *ἄγγειλον·* correxit secunda ex *ἄγγελον* *V*, *πράγμ'* *Γ*, *ἠγωνήσω* *P* *ἠγωνίσω* correctum est ex *ἀγωνίσω* *Θ*. — vs. 615 Omissa est ante versum 615 nota isiciarii in *P* et *M*. — vs. 615 Omissum est *γ'* *RAΘ* *γ'* a secunda adiectum est *Γ*. — vs. 616 Omissa est chori nota ante versum *M*, omissum est *τι* *RVΓΘΔPMA* *ἐστὶν* *RVΓΘΔPMA*, *ὀλολύξαι* *RM* *ἀπολολύξαι* *P*. — vs. 617 *πολλὴ δ'* *P*, post *πολὺ* in exitu versus librarius addiderat *δά*, sed ipse delevit lineola traducta *R*, *ἄμεινον* *RVAΓΘPM*, ante versum 617 picta fuerat a secunda chori nota, sed deleta est lineolis traductis *Θ*. — vs. 618 *εἰργασμένε* *P* *εἰργασμέν* *ΘΔ* *εἰργασμέν'* *RVΓMA*. — vs. 619 *ἅπαντας μοι* *M*, post *σαφῶς* spatium est in eodem versu, finitur enim *δοκῶ* voce *Δ*. — vs. 620 *ὧστ'* *RM*. — vs. 622 *τὰδ'* *V*, *ὥστ'* *Γ*, *θαρσήσας* *PΘΔ* *θαρσήσας* correxit secunda ex *θαρρήσας* *V* super *θαρσήσας* scripta sunt a secunda: *γρ. καὶ θαρρήσας* *Γ*, in rasura secunda pinxit *γ* in *λέγ'* *Γ*.

πάντες ἡδόμεσθά σοι.
ΑΛΛ. καὶ μὴν ἀκοῦσαί γ' ἄξιον τῶν πραγμάτων.
εὐθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ' ἱέμην·
ὁ δ' ἄρ' ἔνδον ἐλασίβροντ' ἀναρρηγνὺς ἔπη
τερατευόμενος ἤρειδε κατὰ τῶν ἱππέων,
κρημνοὺς ἐρείπων καὶ ξυνωμότας λέγων
πιθανώταθ'· ἡ βουλὴ δ' ἅπασ' ἀκροωμένη
ἐγένεθ' ὑπ' αὐτοῦ ψευδατραφάξυος πλέα,
κἄβλεψε νᾶπυ, καὶ τὰ μέτωπ' ἀνέσπασεν.
κἄγωγ' ὅτε δὴ 'γνων ἐνδεχομένην τοὺς λόγους
καὶ τοῖς φενακισμοῖσιν ἐξαπατωμένην,
ἄγε δὴ Σκίταλοι καὶ Φένακες, ἦν δ' ἐγώ,
Βερέσχεθοί τε καὶ Κόβαλοι καὶ Μόθων,
ἀγορά τ', ἐν ᾗ παῖς ὢν ἐπαιδεύθην ἐγώ,

ADNOTATIO CRITICA.

vs. 628 ἐρείπων Brunckius. — vs. 631 νᾶπυ, Dindorfius. — vs. 635 μόθων e scholio Kusterus.

SCRIPTURAE DISCREPANTIA.

vs. 623 ἡδόμεθά *RAΓΘΔPM*, ἅ in introitu huius versus deletum et in exitu versus 622 adiectum est a secunda *Γ*. — 624 Omissum est γ' *M*, ἀκούσαι γ' *R* ἀκοῦσαι γ' *ΓΘP*. — vs. 625 ἱέμην *ΓΘΔPM* ἱέμην correxit secunda ex ἵέμην *V*. — vs. 626 ὅδ' ἄρ *MΘΔ* in ὁ δ' supra ὁ rasura est *V* ἄρ *RΓ*. — vs. 627 ἤρει δὲ *R* ἤρει δὲ *Δ* ἤρει δὲ a secunda addito ι infra η *Θ* ἤρειδε correxit secunda ex ἤριδε etiam lemma scholii ἤριδε *V*. — vs. 628 ἐρείδων codices. — vs. 629 Omissum est δ' *M*, πιθανώτατα δ' ἡ βουλὴ ἅπασ' *RP* πιθανωτάτα ϑ' (lemma scholii πιθανώτατ') ἡ βουλὴ ἅπασ' *V* πιθανώτατ$\overset{ϑ'}{α}$ ἡ βουλὴ ἅπασ' additis $\overset{ϑ'}{α}$ a secunda *Γ*, ἀνακρουωμένη *R* ἀκροωομένη *P*. — vs. 630 ψευδἀτράφαξυς *R* ψευδατραφύξυος *A* ψευδατραφύξιος *P* ψευδατραφαξύος *M* ψευδατραφύξυος supra ύ scriptis a secunda: γρ. α *Θ*. — vs. 631 κἄβλεψεν ἄπυ *PΔ*, post κἄ in κἄβλεψε rasura deletae sunt duae fere litterae *A*, νάπυ *RVΓMA* in νάπυ in rasura est νά *Θ*, ἀνέσπασε *MPΔV*, sed lemma scholii in *V* ἀνέπασεν. — vs. 632 κἀγώγ' *P*, δ' ἤγνων *RΓP* δη"γνων *M* δὴ"γνων *Θ* δή 'γνων *V*. — vs. 633 φενακισμοῖς *PMΘΔ*, ἐξηπατημένην *A* ἐξηπατυμένην *Δ* ἐξηπατωμένην superscripto α super η a secunda *Γ*. — vs. 634 σκύταλοι *RM*. — vs. 635 βερεχεθοί τε *P*, verba βερέσχεθοί τε omissa sunt in *A*, in quo spatium 1½ versuum relictum est, μόθωνες codices. — vs. 636 ἀγορᾶ τ' *Γ*, ὦν *V*.

νῦν μοι θράσος καὶ γλῶτταν εὔπορον δότε
φωνήν τ' ἀναιδῆ. ταῦτα φροντίζοντί μοι
ἐκ δεξιᾶς ἐπέπαρδε καταπύγων ἀνήρ.
κἀγὼ προσέκυσα· κᾆτα τῷ πρωκτῷ θενὼν
τὴν κιγκλίδ' ἐξήραξα, κἀναχανὼν μέγα
ἀνέκραγον· ὦ βουλή, λόγους ἀγαθοὺς φέρων
εὐαγγελίσασθαι πρῶτος ὑμῖν βούλομαι·
ἐξ οὗ γὰρ ἡμῖν ὁ πόλεμος κατερράγη,
οὐπώποτ' ἀφύας εἶδον ἀξιωτέρας.
οἱ δ' εὐθέως τὰ πρόσωπα διεγαλήνισαν·
εἶτ' ἐστεφάνουν μ' εὐαγγέλια· κἀγὼ 'φρασα
αὐτοῖς ἀπόρρητον ποιησαμένους ταχύ,
ἵνα τὰς ἀφύας ὠνοῖντο πολλὰς τοὐβολοῦ,
τῶν δημιουργῶν ξυλλαβεῖν τὰ τρύβλια.
οἱ δ' ἀνεκρότησαν καὶ πρὸς ἔμ' ἐκεχήνεσαν.
ὁ δ' ὑπονοήσας, ὁ Παφλαγών, εἰδὼς ἄρα
οἷς ἥδεθ' ἡ βουλὴ μάλιστα ῥήμασιν,

ADNOTATIO CRITICA.

vs. 639 ἐπέπαρδε Halbertsma. — vs. 640 θενὼν Dindorfius. — vs. 648 ποιησαμένους Reiskius.

SCRIPTURAE DISCREPANTIA.

vs. 637 θρᾶσος Γ, γλῶσσαν P. — vs. 638 φωνὴν τ' Γ, ἀναιδῆι R. — vs. 639 ἀπέπαρδε codices. — vs. 640 κ'αγὼ V, τῶν πρωκτῶν Δ κρωκτω P, θένων codices, nisi quod in V θένων correxit secunda ex θείνων. — vs. 641 ἐξάραξα ΑΡΜΓΘΔV et sic etiam lemma scholii in V, γ in voce κιγκλίδ' supra lineam adiectum est a secunda Γ, κ' ἀναχανὼν R. — vs. 642 Omissum est ὦ R. — vs. 643 πρῶτον RAPMΓΘΔ πρῶτος correxit secunda ex πρῶτον, ut videtur, V, ὑμῖν correctum est ex ἡμὶν Θ. — vs. 644 ἔξου γαρ R ἐξοῦ Θ. — vs. 645 οὐπῶποτ' M. — vs. 646 τῶν δ' VΓΘΔΑΡ, διεγαλήνισεν ΓΘΔΑΡ διεγαλήνησεν correctum a secunda ex διεγάλησεν V, etiam lemma scholii in V διεγαλήνησεν habet, εὐθὺς ΑΘΔ εὐθὺς superscriptis a secunda: γρ. εὐθέως Γ. — vs. 647 μ' ἀγγελία P, κἀγώφρασα M correctum ex κἀγώ φράσα R κἀγῶφρασα P, "φρασα ΑΓ. — vs. 648 ποιησάμενος codices. — vs. 649 πολλὰς correxit secunda ex πολλᾶς V, ἵνα τοὺς Γ, τοῦ 'βολοῦ P τοὺ βολοῦ M τοῦ βολοῦ V. — vs. 650 συλλαβεῖν RMΑ ξυλλαβεῖν correxit secunda ex ξυλαβεῖν V, τρυβλία ΘΔ. — vs. 651 οἴδ' RVΓ υἴδ' ΘΜΔ, ἀνεκράτησαν M, πρός μ' M, ἐκεχίνεσαν R. — vs. 652 ὅδ' ΘΜ ὅ δ' V, εἰδὼς τ'ἄμα R. — vs. 653 μάλιστα correctum est ex μάλλιστα V, ῥήμασι ΑΡΜVΓΘΔ.

γνώμην ἔλεξεν· ἄνδρες, ἤδη μοι δοκεῖ
ἐπὶ συμφοραῖς ἀγαθαῖσιν εἰσηγγελμέναις
εὐαγγέλια θύειν ἑκατὸν βοῦς τῇ θεῷ.
ἐπένευσεν εἰς ἐκεῖνον ἡ βουλὴ πάλιν.
κἄγωγ' ὅτε δὴ 'γνων τοῖς βολίτοις ἡττημένος,
διακοσίαισι βουσὶν ὑπερηκόντισα·
τῇ δ' Ἀγροτέρᾳ κατὰ χιλιῶν παρῄνεσα
εὐχὴν ποιήσασθαι χιμάρων εἰσαύριον,
αἱ τριχίδες εἰ γενοίαθ' ἑκατὸν τοὐβολοῦ.
ἐκαραδόκησεν εἰς ἔμ' ἡ βουλὴ πάλιν.
ὁ δὲ ταῦτ' ἀκούσας ἐκπλαγεὶς ἐφληνάφα.
κᾆθ' εἷλκον αὐτὸν οἱ πρυτάνεις χοἰ τοξόται.
οἱ δ' ἐθορύβουν περὶ τῶν ἀφύων ἑστηκότες·
ὁ δ' ἠντεβόλει γ' αὐτοὺς ὀλίγον μεῖναι χρόνον·
ἵν' ἅτθ' ὁ κῆρυξ οὐκ Λακεδαίμονος λέγει

ADNOTATIO CRITICA.

Post versum 656 excidisse videtur versus talis fere: *τὰς κοιλίας δὲ προῖκα τὴν βουλὴν ἔχειν*. Ad eiusmodi quid, nisi fallor, ducunt scholiastae verba: *ἡ γὰρ τοῦ βοὸς κοιλία βόλιτον ἔχει*. — vs. 659 *διακοσίαισι* Dindorfius. — vs. 660 *χιλιῶν* scholiasta. — vs. 667 *ἠντεβόλει* Cobetus.

SCRIPTURAE DISCREPANTIA.

vs. 654 *καμοὶ* (pro *ἤδη μοι*) *R κἀμοὶ M*. — vs. 655 Lemma scholii in *V ἀγαθαῖς*, *ἠγγελμένας* superscriptis super *α* litteris *αι R*. — vs. 656 *βοὺς R*, *τῇ θεᾷ A τῇ θεᾷ* super *ᾷ* scripto a secunda *ῷ Γ τῇ θεᾷ* superscriptis a secunda *γρ. ῶ Θ τῇ θεᾷ Δ*. — vs. 657 In rasura pinxit secunda *έ* in *ἐπένευσεν Γ*. — vs. 658 *δ'ἤγνων R δήγνων M δ' ἤγνων Γ δή 'γνων Δ δὴ 'γνων* correctum est ex *δή 'γνων V δ' ἤγνων P δὴ "γνων* correctum est ex *δή "γνων Θ*, *κἄγωγε A Θ Δ*, in rasura est o in *ἡττημένος Θ*. — vs. 659 *διηκοσίῃσι RM διηκοσίῃσι V A Γ Θ Δ διηκοσίοισι P*. — vs. 660 *χιλίων R V A P M Γ Θ*. — vs. 661 *χιμάρρων R*, *εἰς αὔριον M ἐσαύριον P Θ Δ ἐς αὔριον A Γ ἐς ἀύριον V*. — vs. 662 *τριχίδες δ' εἰ V P Γ Θ Δ δ' ἐγενοίαθ' M*, *τοῦ 'βολοῦ P* in rasura pictum est a secunda *'βολου* in *τοῦ 'βολοῦ V*. — vs. 663 *εἰς εμ' R εἰς ἔμ' V*. — vs. 664 *ὅδε R*, *ἐφληνάφει M*. — vs. 665 In *καθεῖλκον* rasura est super *α* et *ει V*, omissum est *αὐτὸν M*, *χ' οἱ R V Γ P χοἱ Θ M*, *πρυτανεῖς M*. — vs. 666 *οἳ δ' R V Γ οἵδ' M Θ Δ*, *ἐστηκότες V*. — vs. 667 *ὃδ' R V Γ ὃδ' M Θ Δ*, *ἠντιβόλει* codices, *μεῖναι* correxit secunda ex *μεῖνον*, ut videtur, *V*. — vs. 668 *ἵν' ἁτ' R ἵνα θ' A M ἵν' ἄθ' V ἵν' ἅθθ' Γ ἵν' ἅθ' Θ Δ P*, *κῆρυξ Γ*, *ὀὺκ Γ P οὐκ M Θ Δ*, *λέγῃ R λέγῃ πάλιν M λέγη πάλιν Δ λέγῃ πάλιν* deleto *πάλιν* a secunda *Θ λέγει πάλιν V A P* in rasura et a secunda pictum est *πάλιν* in *λέγει πάλιν Γ*.

πύθησθ'· ἀφῖκται γὰρ περὶ σπονδῶν πάλιν.
οἱ δ' ἐξ ἑνὸς στόματος ἅπαντες ἀνέκραγον·
νυνὶ περὶ σπονδῶν; ἐπειδή γ', ὦ μέλε,
ᾔσθοντο τὰς ἀφύας παρ' ἡμῖν ἀξίας;
οὐ δεόμεθα σπονδῶν· ὁ πόλεμος ἑρπέτω.
ἐκεκράγεσάν τε τοὺς πρυτάνεις ἀφιέναι·
εἶθ' ὑπερεπήδων τοὺς δρυφάκτους πανταχῇ.
ἐγὼ δ' ἐπριάμην τὰ κορίανν' ὑπεκδραμὼν
ἅπαντα τά τε γήτει' ὅσ' ἦν ἐν τἀγορᾷ·
ἔπειτα ταῖς ἀφύαις ἐδίδουν ἡδύσματα
ἀπορούσιν αὐτοῖς προῖκα, κἀχαριζόμην.
οἱ δ' ὑπερεπῄνουν ὑπερεπύππαζόν τέ με

ADNOTATIO CRITICA.

vs. 669 *πάλιν* Porsonus. — vs. 674 *ἀφιέναι* Brunckius. — vs. 676 Restituit Fritzschius.

SCRIPTURAE DISCREPANTIA.

vs. 669 *πύθησδ' A*, *λόγων* (pro *πάλιν*) *AΘΔ λόγων* superscriptis a secunda: *γρ. λέγων Γ* reliqui libri *λέγων*. — vs. 670 *οἳ δ' RΓ οἳ* omisso *δ' V οἵδ' MΘΔ*, *πάντες AΔ ἅπαντες* correxit secunda ex *πάντες Θ* supra lineam a secunda adscriptum est *ἅ* in *ἅπαντες Γ*. — vs. 671 *ἐπειδὴ γ' RΓ ἐπειδή γ'* correxit secunda ex *ἐπειδὴ γ' V*, *μέλε' MΓΘΔ*. — vs. 672 *ἀφύας* correctum est ex *ἀφυὰς R*. — vs. 673 *ἐῤῥέτω* superscriptis *γρ. ἑρπέτω M ἑρπέτω P* supra *ἑρπέτω* scriptum est a secunda: *γρ. καὶ ἐῤῥέτω Γ*. — vs. 674 *ἐκεκράγασάν τε ΘΔ ἐκέκραγεσάν τε Γ*, *ἀπιέναι* codices omnes. — vs. 675 *οἳ δ'* (*οἵδ' ΘΔ*) superscriptis (in margine adscriptis *Δ*) a secunda (a prima in *Γ*) *γρ. εἶθ' ΓΘΔ*, *ὕπερ ἐπήδων R*, *δρυφακτοὺς PR δρυφάκτας AΓΘΔ*, *πανταχῇ RA πανταχοῦ VPMΓΘΔ*. — vs. 676 *ἐπεὶ* (pro *ἐγὼ*) *Δ* expunctum est *ἐπεὶ* et superscriptum a secunda *ἐγὼ Θ*, *κοῤῥίανν' A κορίανν'* correxit secunda ex *κορίαν V*, in rasura pictum est a secunda *ιά* in *ἐπριάμην Θ*, *ὑπεκδραμών· R* reliqui libri *ὑποδραμὼν*, inverso ordine verba leguntur in codicibus omnibus sic: *ἐγὼ δὲ τὰ κορίανν' ἐπριάμην ὑπ.* — vs. 677 *ἅπαντά τε τα R ἅπαντά τε* omisso *τά M*, *γήτει'* correxit secunda ex *γήτι'* etiam lemma scholii *γήτια V*, in *ὅσ'* rasura est super *σ* et spiritum, accentum, apostrophum pinxit secunda *V*, in rasura pinxit secunda circumflexum super *ῆ* et *ἐ* in vocibus *ἦν ἐν Θ*, *ἔν ΔR*, *τῇ ἀγορᾷ VM τ' ἀγορᾷ RΓΘ* (in *Θ ᾷ* correxit secunda ex *ᾶ*) *Δ τ' ἀγορᾶ P*. — vs. 679 *ἀπαίρουσιν RM*, *κἀχαριζόμην* correctum est ex *κἀχαρίζομεν V κἀνεχαριζόμην* expuncta *νε* syllaba a secunda *Θ*. — vs. 680 *οἳ δ' RVΓ οἵδ' MΔ*, *ὑπερ ἐπῄνουν R*, *ὑπερεπυππάζοντό με R ὑπερεπύπαζον τέ με*

ἅπαντες οὕτως ὥστε τὴν βουλὴν ὅλην
ὀβολοῦ κοριάννοις ἀναλαβὼν ἐλήλυθα.
ΧΟΡ. *πάντα τοι πέπραγας οἷα χρὴ τὸν εὐτυχοῦντα·*
εὗρε δ' ὁ πανοῦργος ἕτερον πολὺ πανουργίαις
μείζοσι κεκασμένον,
καὶ δόλοισι ποικίλοις,
ῥήμασίν θ' αἱμύλοις.
ἀλλ' ὅπως ἀγωνιεῖ φρόν-
τιζε τἀπίλοιπ' ἄριστα·
συμμάχους δ' ἡμᾶς ἔχων εὔ-
νους ἐπίστασαι πάλαι.
ΑΛΛ. *καὶ μὴν ὁ Παφλαγὼν οὑτοσὶ προσέρχεται,*
ὠθῶν κολόκυμα καὶ ταράττων καὶ κυκῶν,
ὡς δὴ καταπιόμενός με. μορμὼ τοῦ θράσους.
ΠΑΦ. *εἰ μή σ' ἀπολέσαιμ', εἴ τι τῶν αὐτῶν ἐμοὶ*
ψευδῶν ἐνείη, διαπέσοιμι πανταχῇ.

ADNOTATIO CRITICA.

vs. 687 *αἱμύλοις* Brunckius. — Ad versum 695 hoc legitur scholium: *Οἷον διαμαρτήσαιμι, φησὶ, τῆς ἐλπίδος, εἴ σε μὴ ἀπολέσαιμι, εἴ τι τῶν ἐμῶν ὑποκρίναιο ψευσμάτων ἐπειδὴ ψευδόμενος καὶ ἀνθυπισχνούμενος ἔδοξεν αὐτὸν ὁ ἀλλαντοπώλης παρευδοκιμεῖν.* Haec qui conscripsit, pro *ἐνείη* legisse videtur *ἐφεῖο* et sic, nisi fallor, scribendum est.

SCRIPTURAE DISCREPANTIA.

PM ὑπερεπύππαζον τέ με VΓΔ ὑπερεπύππαζόν τε με Θ. — vs. 681 Omissum est *ὥστε A.* — vs. 682 *ὀβολοῦ* correxit secunda ex *ὀβολοῦ V*, *κοριάνναν P* alterum *ν* in *κοριάννοις* adiecit secunda *Δ.* — vs. 683 *ἅπαντα R*, *δὴ* (pro *τοι*) *ΓΘΔΜ δη A δὲ P* supra lineam adscriptum est (omisso *τοι*) *δὴ* a secunda *V*, *πέπραγας* correctum est ex *πέπραχας V*, *χρῆ V.* — vs. 685 *μεῖζοσι R μείζουσι P.* — vs. 686 *δήλοισι M* post *δόλοισι* rasura deletum est *καὶ* et ante *δόλοισι* adiectum a secunda *V.* — vs. 687 *ῥήμασίν τ'* correctum ex *ῥῆμασίν τ' R ῥήμασί θ' ΓΘΔ ῥήμασι θ' VPM*, *αἱμυλίοις VAPMΓΘΔ αιμυλίοις R.* — vs. 688 *τὰ 'πίλοιπ' V τ' ἀπίλοιπ' Γ*, *ἄριστα* correctum est ex *ἄριστ' R.* — vs. 689 *ξυμμάχους VPΓΘΔ*, omissum est *ἔχων R*, *ἔχων ἡμᾶς Δ ἔχων ἡμᾶς* iusto ordine restituto a secunda superscriptis *α* et *β* litteris *ΓΘ.* — vs. 690 *ἐπίστασαι εὔνους* inverso ordine *ΓΘΔA.* — vs. 691 Omissa est isiciarii nota ante versum *PM*, *οὗτοσὶ P.* — vs. 692 *κολείκυμα Δ.* — vs. 693 Supra *καταπιόμενός* scripsit secunda *γρ. καταπινόμενος V*, *μορμῶν M.* — vs. 695 In *διαπέσοιμι* supra lineam a secunda adscriptum est *α Θ διπέσοιμι* correctum ex *διπέποιμι Δ*, *πανταχῇ RVA.*

ΑΛΛ. ᾔσθην ἀπειλαῖς, ἐγέλασα ψολοκομπίαις,
ἀπεπυδάρισα μόθωνα, περιεκόκκασα.
ΠΑΦ. οὔ τοι μὰ τὴν Δήμητρά γ', εἰ μή σ' ἐκφάγω
ἐκ τῆσδε τῆς γῆς, οὐδέποτε βιώσομαι.
ΑΛΛ. εἰ μὴ 'κφάγῃς μ'; ἐγὼ δέ γ', εἰ μή σ' ἐκπίω,
κἂν ἐκροφήσας αὐτὸς ἐπιδιαρραγῶ.
ΠΑΦ. ἀπολῶ σε νὴ τὴν προεδρίαν τὴν ἐκ Πύλου.
ΑΛΛ. ἰδοὺ προεδρίαν· οἷον ὄψομαί σ' ἐγὼ
ἐκ τῆς προεδρίας ἔσχατον θεώμενον.
ΠΑΦ. ἐν τῷ ξύλῳ δήσω σε νὴ τὸν οὐρανόν.
ΑΛΛ. ὡς ὀξύθυμος. φέρε τί σοι δῶ καταφαγεῖν;
ἐπὶ τῷ φαγὼν ἥδοι' ἄν; ἐπὶ βαλλαντίῳ;
ΠΑΦ. ἐξαρπάσομαί σου τοῖς ὄνυξι τἄντερα.

ADNOTATIO CRITICA.

vs. 697 *περιεκόκκασα* Dindorfius ex Photio. — vs. 700 *μ'* addidit Bergkius. — vs. 701 *κἂν* Bothius. — vs. 707 *φαγὼν ἥδοι'* Engerus.

SCRIPTURAE DISCREPANTIA.

vs. 696 Omissa est ante versum nota allantopolae *RM*, *ᾔσθην P* *ᾔισθην* lemma scholii in *V*. — vs. 697 *R* interpungendi signum (·) post *μόθωνα* vocem habet, reliqui libri post *ἀπεπυδάρισα* (·), ante versum est nota allantopolae *M*, *περιεκόκκαυσα R* *περιεκόκκυσα ΑΡΜΘΔ* in *περιεκόκυσα* (sic) in rasura pinxit secunda *εκό Γ* *περὶ ἐκόκκυσα* rasura est supra *ὶ* et *ἐ V*, inter *μόθων* et *περιεκόκκυσα* voces supra lineam adscripserat secunda *ου*, sed expunctum est *Θ*. — vs. 698 Omissa est nota Cleonis ante versum *R*, supra *τοι* scriptum est *τι M*, *δήμητραν ἐὰν M* *δήμητρ' ἐὰν VΑΡΓΘΔ*. — vs. 699 *οὐδέπωτε R*. — vs. 700 Omissa est ante versum allantopolae nota *RM* omissum est *μ'* in codicibus, *ἢν μὴ* (in introitu versus) *VΑΡΜΓΘΔ*, *ἐγὼ δέ σ'* (*δε σ' V* *δέ σε ΑΘΔ*) *ἢν* (*ἢ'ν V*) *μὴ 'κπίω* (*μὴκπίω M*) *VΑΡΜΓΘΔ*. — vs. 701 *κἀπεκροφήσας R* *κἀπεκροφήσας ΑΡΜΘΔ* *κἀπεκρόφησας Γ* rasura est supra *ε* in *κἀπεκροφήσας V*, *ἐπεὶ διαρραγῶ ΑΡΔ* *ἐπὶ διαρραγῶ Θ*. — Omissa est Cleonis nota ante versum 702 *M*. — vs. 703 Omissa est allantopolae nota ante versum *M* *προσεδρίαν ΘΔ*. — vs. 704 *προσεδρίας Θ*. — Ante versum 705 omissa est nota Cleonis *M*. — vs. 706 Omissa est allantopolae nota ante versum *M*, *ὀξύθυμος P* *ὡς ὀξύθυμος* correxit secunda ex *ωσ' ὀξύθυμος*, ut videtur, *V*, *δοκῶ καταφαγεῖν V*. — vs. 707 *ἐπὶ τὼ ΑΓ* *τῶ* correctum est ex *τὼ Θ*, *φάγοις ἥδιστ' ἄν* codices, nisi quod in *Θ* est *φάγῃς* et in *Γ* *φάγῃς* super *η* scripto a secunda *οι*, *βαλαντίῳ M* *βαλαντίω Α*. — Omissa est nota Cleonis ante versum 708 *RM*. — vs. 708 *ἁρπάσομαί* (omisso *ἐξ*) *Α* *ἐξαρπάσομαί* correxit secunda ex *ἐξαρπάσομαι*

ΑΛΛ. ἀπονυχιῶ σου τἀν πρυτανείῳ σιτία.
ΠΑΦ. ἕλξω σε πρὸς τὸν δῆμον, ἵνα δῷς μοι δίκην.
ΑΛΛ. κἀγὼ δέ σ' ἕλξω διαβαλῶν γε πλείονα.
ΠΑΦ. ἀλλ', ὦ πονηρέ, σοὶ μὲν οὐδὲν πείθεται·
ἐγὼ δ' ἐκείνου καταγελῶ γ' ὅσον θέλω.
ΑΛΛ. ὡς σφόδρα σὺ τὸν δῆμον σεαυτοῦ νενόμικας.
ΠΑΦ. ἐπίσταμαι γὰρ αὐτὸν οἷς ψωμίζεται.
ΑΛΛ. κᾆθ' ὥσπερ αἱ τίτθαι γε σιτίζεις κακῶς.
μασώμενος γὰρ τῷ μὲν ὀλίγον ἐντίθῃς,
αὐτὸς δ' ἐκείνου τριπλάσιον κατέσπακας.
ΠΑΦ. καὶ νὴ Δί' ὑπό γε δεξιότητος τῆς ἐμῆς.
δύναμαι ποιεῖν τὸν δῆμον εὐρὺν καὶ στενόν.
ΑΛΛ. χὠ πρωκτὸς οὑμὸς τουτογὶ σοφίζεται.
ΠΑΦ. οὐκ, ὠγάθ', ἐν βουλῇ με δόξεις καθυβρίσαι.

ADNOTATIO CRITICA.

vs. 711 *διαβαλῶν* e coniectura scripsi.

SCRIPTURAE DISCREPANTIA.

V. — Ante versum 709 omissa est nota allantopolae *R M.* — vs. 709 *τὰ 'ν V τ' ἀν Γ P*, *πρυτανίῳ R.* — Omissa est nota Cleonis ante versum 710 *R M.* — vs. 710 *ἕλξω* correxit secunda ex *ἔλξω V.* — Ante versnm 711 omissa est nota allantopolae *R M.* — vs. 711 *καὶ διαβαλῶ πλείονα R καὶ διαβαλῶ γε πλείονα* (in *πλείονα* in rasura et a secunda *α V*) *Α P M Θ V* et iemma scholii in *V* addito *γε* supra lineam a secunda *Γ καὶ διαβαλῶ σε Δ.* — Omissa est nota Cleonis ante versum 712 *R.* — vs. 712 *πόνηρε R V Γ Θ P M*, prius *ε* in *πείθεται* in rasura pinxit secunda *Γ.* — vs. 713 *ἐγώ δ' Θ P.* — Ante versum 714 pro isiciarii nota est lineola (-) in *R* et *M.* — vs. 714 *σαυτοῦ M.* — Ante versnm 715 omissa est nota Cieonis *R* lineola indicata est *M.* — Ante versum 716 lineola est pro isiciarii nota. *M.* — vs. 716 *καθῶσπερ R καθώσπερ P Θ Δ*, *τῖτθαί γε Α τίτθαί γε R Γ Θ Δ P.* — vs. 717 *μασσώμενος Γ*, *τὸ μὲν R V Α Δ τῷ* eorrexit secunda ex *τὸ Θ* super *ὀ* in *τὸ* scripsit secunda *ω Γ*, *ὀλίγον R*, *ἐντιθῇς Α ἐντιθεῖς R Γ P ἐντιθείς· M ἐντιθεὶς Θ Δ ἐντιθεὶς* correxit secunda ex *ἐντιθεῖς V.* — vs. 718 *αὐτός δ' Θ Δ P M*, in rasura pinxit secunda *σ* ante *π* in *κατέσπακας V.* — Ante versum 719 pro Cieonis nota lineola est *R M.* — Ante versum 720 lineola ilia est, qua nova persona indicatur *R.* — vs. 720 In *δύναμαι* in rasura et a secunda *αι V*, *ποεῖν R V M.* — Ante versum 721 pro isiciarii nota iineoia est *R M.* — vs. 721 *χ'ω V χ'ὠ Γ P χὼ M Θ Δ*, *ἐμὸς Δ οὑμὸς Θ M ὁὑμὸς V Γ P*, *τοῦτο γε M τουτοὶ Α P Θ Δ τουτοῖ* correxit secunda ex *τοῦτογὶ V γ* in *τουτογὶ* adiecit secunda *Γ.* — Ante versum 722 omissa est nota Cieonis *R M.* — vs. 722 *οὔκ' P R οὔκ V Γ Θ.*

ἴωμεν ὡς τὸν Δῆμον. ΑΛΛ. οὐδὲν κωλύει·
ἰδού, βάδιζε, μηδὲν ἡμᾶς ἰσχέτω.
ΠΑΦ. ὦ Δῆμε, δεῦρ' ἔξελθε. ΑΛΛ. νὴ Δί', ὦ πάτερ,
ἔξελθε δῆτ', ὦ Δημίδιον. ΠΑΦ. ὦ φίλτατε,
ἔξελθ', ἵν' εἰδῇς οἷα περιυβρίζομαι.
ΔΗ. τίνες οἱ βοῶντες; οὐκ ἄπιτ' ἐκτὸς τῆς θύρας;
τὴν εἰρεσιώνην μου κατεσπαράξατε.
τίς, ὦ Παφλαγών, ἀδικεῖ σε; ΠΑΦ. διὰ σὲ τύπτομαι
ὑπὸ τουτουὶ καὶ τῶν νεανίσκων. ΔΗ. τιή;
ΠΑΦ. ὁτιὴ φιλῶ σ', ὦ Δῆμ', ἐραστής τ' εἰμὶ σός.

ADNOTATIO CRITICA.

vs. 723 *ὡς* Meinekius. — vs. 726 *Δημίδιον. ΠΑΦ. ὦ φίλτατε* Cobetus. — vs. 727 *περιυβρίζομαι* Elmsleius. — vs. 728 *ἐκτὸς* Bothius.

SCRIPTURAE DISCREPANTIA.

vs. 723 Omissa est ante *οὐδὲν*, qua voce in hoc libro novus versus incipit, nota allantopolae *R* omissa est allantopolae nota, spatio vacuo relicto, *M* non relicto *ΔΑ* in rasura est *Γ* supra lineam adscripta *Θ*, *ἐς* (pro *ὡς*) *R M* reliqui libri *εἰς*, *ἴω μὲν P*. — Ante versum 724 est nota isiciarii *A*. — vs. 724 *ἰδοὺ* correxit secunda ex *ἰδοῦ V*, *μηδὲν R*, *ἰσχέτω* correctum est ex *ἴσχετω R*. — Omissa est ante versum 725 nota Cleonis *R* lineola indicata est *M*, omissa est ante *νὴ* allantopolae nota *R V A Γ Θ Δ M* (legitur in solo *P*), *δεῦρ' ὦ δῆμ'* inverso ordine *A Θ Δ* iusto ordine restituto litteris *α* et *β* superscriptis a secunda *Γ*, *δεῦρ'* correctum ex *δεῦρο M*. — Ante versum 726 lineola indicata est nova persona *R M*, allantopolae nota ante versum est *V Γ*, omissa est Cleonis nota ante *ὦ R M V Γ P Θ Δ A*, ante prius *ὦ* isiciarii nota est *A*, omissum est alterum *ὦ* (ante *φίλτατε*) *R V Γ A Θ P M Δ*, *φίλτατον* codices. — Versus 727 post versum 729 legitur *V Γ A P Θ Δ* (suo loco est in *R* et *M*), *ἵνα ἴδῃς R*, *οἷαπερ ὑβρίζομαι R V P M οἷάπερ ὑβρίζομαι Γ Θ Δ*, praefixa est versui nota Cleonis *Θ*. — vs. 728 Ante versum pro Demi nota lineola est *M*, *ἐκ τῆς θύρας R ἐκ τῆς θύρας M* reliqui libri *ἀπὸ τῆς θύρας*. — vs. 729 *τίνες* (pro *τὴν*) *M*, *εἰρεσιῶν Δ*. — Ante versum 730 est nota Demi *V Θ*, omissa est spatio relicto nota Cleonis ante *διὰ R* pro nota Cleonis ante *διὰ* lineola est *M*, *τὶς Γ M*, *ὁ παφλαγὼν A Θ Δ*, supra *γὼν* in *ὦ παφλαγὼν* scriptum est *γὸν M*. — vs. 731 Omissa est ante *τίή* spatio relicto Demi nota *R* lineola indicata est Demi nota *M*, *τίή R V τίη M τιὴ Θ τηί P*. — Omissa est ante versum 732 Cleonis nota *M*, *ὅτιὴ V ὅτιή Γ*, *δῆμε A Θ*, *ἐραστής* correctum est ex *ἐραστὴς V*, omissum est *τ' Γ A M Θ Δ*, *σός* correctum est ex *σὸς Θ*.

ΔΗ. σὺ δ' εἶ τίς ἑτεόν; *ΑΛΛ.* ἀντεραστὴς τουτουί,
ἐρῶν πάλαι σου, βουλόμενός τέ σ' εὖ ποιεῖν,
ἄλλοι τε πολλοὶ καὶ καλοί τε κἀγαθοί.
ἀλλ' οὐχ οἷοί τ' ἐσμὲν διὰ τουτονί. σὺ γὰρ
ὅμοιος εἶ τοῖς παισὶ τοῖς ἐρωμένοις·
τοὺς μὲν καλούς τε κἀγαθοὺς οὐ προσδέχει,
σαυτὸν δὲ λυχνοπώλαισι καὶ νευρορράφοις
καὶ σκυτοτόμοις καὶ βυρσοπώλαισιν δίδως.
ΠΑΦ. εὖ γὰρ ποιῶ τὸν δῆμον. *ΑΛΛ.* εἰπέ μοι, τί δρῶν;
ΠΑΦ. ὅτι; τὸν στρατηγὸν ὑπεκδραμὼν τὸν ἐκ Πύλου,
πλεύσας ἐκεῖσε, τοὺς Λάκωνας ἤγαγον.
ΑΛΛ. ἐγὼ δὲ περιπατῶν γ' ἀπ' ἐργαστηρίου
ἕψοντος ἑτέρου τὴν χύτραν ὑφειλόμην.

ADNOTATIO CRITICA.

vs. 741 εἰπέ μοι Dindorfius. — vs. 742 ὅτι; Elmsleius. Ceterum Cleon loquitur de concione illa, in qua ducis munere se abdicavit Nicias cfr. praeter Thucydidem imprimis Plutarchi Nic. 8.

SCRIPTURAE DISCREPANTIA.

vs. 733 Omissa est Demi nota ante versum *M*, σὺ δ' correctum est ex σύ δ' *Θ* σύ δ' *PM*, τὶς *ΓM*, ετεόν correctum est ex ετεὸν *R* ἑτεὸν *VΓΘP*, καὶ τουτουὶ *AΘΔ*. — vs. 734 σοῦ· *V*, ποιεῖν correxit secunda ex ποεῖν *Γ* ποεῖν correctum est ex ποιεῖν *AΘM* ποεῖν *Δ*. — vs. 735 ἄλλοι τὲ *Γ* ἄλλοί τε *Θ*, omissum est καὶ *M*, καλοὶ τε *Γ*, καγαθοί correctum est ex καγαθοὶ *V*. — vs. 736 οἴτ' *R* οἷοί τε *AΔ* οἷοι τ' *M*, οἶτε μὲν (pro οἷοί τ' ἐσμὲν) *P*. — vs. 738 καγαθοὺς correctum est ex καγαθούς *V*, προσδέχῃ *ΓMA* προσδέχῃ *VΘΔ*. — vs. 739 Versus 739 et 740 in unum versum contracti sic leguntur: σαυτὸν δὲ λυχνοπώλησι δίδως *P*, σ'αυτον *V*, λυχνοπώλησι *Γ* λυχνοπώλησι *AΔV* et lemma scholii in *V* λυχνοπώλησι correxit secunda ex λυχνοπώλαισι *Θ*, νευρορράφαις *R*. — vs. 740 σκυτοτόμοισι *ΓΘΔ* σκυτοτόμησι *A*, βυρσοπώλαισι *M* βυρσοπώλησι *Γ* βυρσοπώλησι *VAΘΔ*, δίδωις *V*. — vs. 741 Omissa est Cleonis nota ante versum *M*, ποῶ *RVΓAΘM*, εἰπὲ νῦν τί δρῶν (εἶπε *V*) *VAΓΘΔP* εἰπὲ (εἰπέ *M*) μοι νῦν τί (τὶ *M*) δρῶν *RM*. — vs. 742 Omissa est Cleonis nota ante versum *R* pro Cleonis nota lineola est *M*, non est in codicibus interrogandi nota post ὅτι, supra τῶν et γῶν et τῶν in vocibus τῶν στρατηγῶν . . . τῶν pinxit secunda ὸν ὸν ὸν *Γ* reliqui libri τῶν στρατηγῶν . . . τῶν, ὑποδραμὼν *RV* ὑπὲκδραμὼν *A* ὑπεκδραμῶν *P* super ο in ὑποδραμὼν superscripsit secunda εκ *Γ*. — Omissa est ante versum 744 nota allantopolae *M*, omissum est δὲ *V*. — vs. 745 ἑψόντος *R* omissum est ἕψοντος spatio relicto *P*, ὑφελόμην *AΘΔ* super ει in ὑφειλόμην pictum

ΠΑΦ. καὶ μὴν ποιήσας αὐτίκα μάλ' ἐκκλησίαν,
ὦ Δῆμ', ἵν' εἰδῇς ὁπότερος νῷν ἐστί σοι
εὐνούστερος, διάκρινον, ἵνα τοῦτον φιλῇς.
ΑΛΛ. ναὶ ναὶ διάκρινον δῆτα, πλὴν μὴ 'ν τῇ πυκνί.
ΔΗ. οὐκ ἂν καθιζοίμην ἐν ἄλλῳ χωρίῳ·
ἀλλ' ὡς τὸ πρόσθε χρὴ παρεῖν' ἐς τὴν πύκνα.
ΑΛΛ. οἴμοι κακοδαίμων, ὡς ἀπόλωλ'. ὁ γὰρ γέρων
οἴκοι μὲν ἀνδρῶν ἐστι δεξιώτατος,
ὅταν δ' ἐπὶ ταυτησὶ καθῆται τῆς πέτρας,
κέχηνεν ὥσπερ ἐμποδίζων ἰσχάδας.
ΧΟΡ. νῦν δή σε πάντα δεῖ κάλων ἐξιέναι σεαυτοῦ,
καὶ λῆμα θούριον φορεῖν καὶ λόγους ἀφύκτους,
ὅτοισι τόνδ' ὑπερβαλεῖ. ποικίλος γὰρ ἀνὴρ
κἀκ τῶν ἀμηχάνων πόρους εὐμήχανος πορίζειν.

ADNOTATIO CRITICA.

vs. 751 ὡς Casaubonus. — vs. 758 ἀνὴρ Dawesius. — vs. 759 εὐμήχανος πορίζειν restituit Bentleius.

SCRIPTURAE DISCREPANTIA.

est ε a secunda *Γ*. — vs. 746 Omissa est Cleonis nota ante versum *RMP*, ποήσας *ΓΘΔ*, μᾶλλ' *Γ* μᾶλ' *V*. — vs. 747 In εἰδῇς post εἰ duae litterae rasura et punctis deletae sunt, quarum prior erat δ' *R*, νῶϊν *Δ* νῷν correxit secunda ex νῶιν *Θ* νῶν correxit secunda ex νῶϊν *Γ* super alterum ν in νῶν secunda pinxit ϊ *V*. — vs. 748 εὐνούστερον *ΘΔ*, ἵν' ἐκεῖνον *VΓΑΘΔP* (ἵνα τοῦτον *RM*). — Omissa est ante versum 749 allantopolae nota *RP* lineola indicata est *M* in rasura est *Γ*, μῆν *R* μὴν *Δ* μὴν *M* μὴν' *Γ*, πυκνῆι *R* πνυκί *VΓΑΘΔP* πνυκι *M*. — Omissa est Demi nota ante versum 750 *M*. — vs. 751 ἐς (pro ὡς) *RM* εἰς *VΓΘΔPA*, τὸ (το *Θ*) πρόσθ' (πρόςσθ' *P*) ἐχρῆν *VΘΔP*, χρῆν *Γ* παρεῖναι εἰς *VΓΑΘΔP* παρεῖναι γ' ἐς *M*, πνύκα *VΓΘΔPM*. — Ante versum 752 pro allantopolae Cleonis nota est *RP* omissa est nota personae *M*. — vs. 753 ἐστὶ *RVΓΑΘ*, δεξιώτερος *ΑΘΔ* super τερος in δεξιώτερος scripsit secunda τατος *Γ*. — vs. 754 ὅτ' ἂν *VΓM* ὅτ'αν correctum est ex ὅτ' ἂν *R*, καθηται *V* κάθηται *RΓΘPMA*. — Omissa est nota chori ante versum 756 *M*, δῆ (pro δή) δὴ (pro δεῖ) *R* locum inter se transmutarunt δή et δεῖ *ΘΔ*, νῦν δή correxit secunda ex νῦν δεῖ *Γ*, δὴ κάλων *A*, νῦν δεῖ σε πάντα κλάων *P*, σαυτοῦ *M*. — vs. 757 Super μ in λῆμα alterum μ pinxit secunda *V*. — vs. 758 τὸν δ' *V*, ποικῖλος correxit secunda ex ποικῖλος *V*, ἀνὴρ *RVΓΘΔP* ἀνήρ *AM*. — vs. 759 κακ' *R* κ'ακ *V*, τᾶν (pro τῶν) *Γ*, εὐμηχάνους πορίζων *RVAPMΓΘΔ*.

πρὸς ταῦθ' ὅπως ἕξει πολὺς καὶ λαμπρὸς ἐπὶ τὸν ἄνδρα.
ἀλλὰ φυλάττου, καὶ πρὶν ἐκεῖνον προσικέσθαι σου, πρότερον σὺ
νυνί | ἀφανάνθην | δὴ | κύψας | ὑπολειπόμενος | Κεραμῆς | αὐτοῦ | πυγήν | πλατείαις | ὑποπερδόμενος | ἔφευγεν | ἔρχεται | διαιρεῖν | βιαίως | τορὼς | καθῆσθον | σοφισμάτων | ἐρίζειν | ἀνὰ δ᾽ ἔρεσθον | καινά | λέγειν | προσῆ | λεγόντοιν | ἔχει | ἕκαστος | κράτισται | ἀλλὰ | σοφῶν *R* — ἐστ᾽ | οὗτος | ἱεροῖς | ἀδελφοῖς | ζῆν | ἡμῶν | ἀνεμεστώθη | δημοπιθήκων | ἀεί | φέρειν | νυνί | ὧσ (in ὥστε) | παναθηναίοι (in παναθηναίοισι) | ἄνθρωπός | πίων | ποιῶν | πύλαις | πλευράς | τυπτόμενος | ὑποπερδόμενος | ἔφευγε | ἔρχεται | διαιρεῖν | βιαίως | τορῶς | καθῆσθον | σοφισμάτων | ἐρίζειν | ἀνὰ δ᾽ ἔρεσθον | καινά | λέγειν | προσῆ | τὰ | λεγόντοιν | ἔχει | εἰσι | δεξιά | κράτισται | παρηκόνηνται | ἀλλὰ | σοφῶν *V* — οὗτος | ἀδελφοῖς | ἡμῶν | δημοπιθήκων | φέρειν | νυνί | παναθηναίοι: (in παναθηναίοισι) | δὴ | ἄνθρωπός | ποιῶν | κεραμῆς | πύλαις | πλευράς | πυγήν | τυπτόμενος | ἔφευγε | ἔρχεται | βιαίως | τορῶς | χἄτεραι | ἐρίζειν | ἀνὰ δ᾽ ἔρεσθον | καινά | λέγειν | προσῆ | λεγόντοιν | ἔχει | ἕκαστος | κράτισται | ἀλλὰ | σοφῶν *U* — ἐστ᾽ | οὗτος | μιγνυμένας | ζῆν | ἡμῶν | ἀνεμεστώθη | δημοπιθήκων | ἀεί | νυνί | παναθηναίοι (in παναθηναίοισι) | λευκός | ποιῶν | πύλαις | πλευράς | τυπτόμενος | ὑποπερδόμενος | ἔφευγε | ἔρχεται | βιαίως | τορῶς | καθῆσθον | σοφισμάτων | ἐρίζειν | καινά | λέγειν | προσῆ | λεγόντοιν | ἔχει | εἰσι | δεξιά | παρηκόνηνται | σοφῶν *A* — αἴτιός | καὶ | ἀ (in ἀδελφοῖς) | τού (in τούτων) | ἀνεμεστώθη | ἐξαπατώντων | φέρειν | ὧσ (in ὥστε) | δὴ | πίων | κεραμῆς | πλευ (in πλευράς) | ταῖσι | λαμπά (in λαμπάδ᾽) | νεῖκος | ἔργον | ἐπα (in ἐπαναστρέφειν) | τορῶς | πολ (in πολλαὶ) | ἔχε (in ἔχετον) | ἀνὰ δ᾽ ἔρεσθον | κἀποκινδυνεύετον | καταφο (in καταφοβεῖσθον) | θεωμένοισιν | ὀρ (in ὀρρωδεῖτε) | ἐστρα (in ἐστρατευμένοι) | ἕκαστος | κράτι (in κράτισται) | οὖν | οὕνε (in οὕνεχ᾽) | αὐτοὺς (v. 1119) *M* — v. 1077 δὲ] δε *R* τε *VA* τὲ *M* | οὐκ] οὐκ᾽ *R* | ἐστ᾽;] ἔστ᾽ *R* ἔστ᾽· *V* ἐστιν: *U* ἐστιν· *A* ἐστιν οὑτοσί· *M* ‖ v. 1078 προαγωγοὺς] πρῳάγωγοὺς *R* | κατέδειξ᾽] κατέδειξ *R* | οὗτος,] οὗτος· *R* ‖ v. 1081 ἀδελφοῖς,] αδελφοὶς· *R* ‖ v. 1082 καὶ] και *V* | φασκούσας οὐ ζῆν] φασκούσας ζῆν *A* ‖ v. 1083 κᾆτ] κἄτ᾽ *RV* κάτ᾽ *UM* ‖ v. 1084 ὑπογραμματέων] ὑπὸ γραμματέων *VM* | ἀνεμεστώθη,] ανεστομώθη: *U* ἀνεστομώθη *M*

καὶ βωμολόχων δημοπιθήκων·
[ἐξαπατώντων τὸν δῆμον ἀεί·]
λαμπάδα δ' οὐδεὶς οἷός τε φέρειν
ὑπ' ἀγυμνασίας ἔτι νυνί.
ΔΙΟ. μὰ Δί' οὐ δῆθ', ὥστε γ' ἀφαυάνθην
Παναθηναίοισι γελῶν, ὅτε δὴ
βραδύς ἄνθρωπός τις ἔθει κύψας
λευκός, πίων, ὑπολειπόμενος,
καὶ δεινὰ ποιῶν· κᾆθ' οἱ Κεραμῆς
ἐν ταῖσι πύλαις παίουσ' αὐτοῦ
γαστέρα, πλευράς, λαγόνας, πυγήν·
ὁ δὲ τυπτόμενος ταῖσι πλατείαις
ὑποπερδόμενος
φυσῶν τὴν λαμπάδ' ἔφευγεν.
ΗΜΙΧ.α. μέγα τὸ πρᾶγμα, πολὺ τὸ νεῖκος, ἁδρὸς ὁ πόλεμος
ἔρχεται.
χαλεπὸν οὖν ἔργον διαιρεῖν,

1099 — 1108 = 1109 — 1118.

ADNOTATIO CRITICA.

v. 1086 versum spurium esse intellexit Bergkius. — v. 1089 ὥστε γ' ἀφαυάνθην Hermannus et Fritzschius.

SCRIPTURAE DISCREPANTIA.

v. 1086 ἐξαπατώντων] corr. ex ἐξαπατῶντων in R ἐξαπατώντων est in V | ἀεί·] corr. prima manus ex ἀεὶ· in V ἀεὶ: est in U ἀεὶ in A ‖ v. 1087 λαμπάδα δ'] λαμπάδας A | οὐδεὶς] οὐδεῖς R | οἷός τε] οἷος τε VM ‖ v. 1088 νυνί.] νυνὶ: V ‖ v. 1089 μὰ Δί'] μὰ δία γ' R | οὐ δῆ in οὐ δῆθ',] in contextu omissum in margine adscripsit U[2] | ὥστε γ' ἀφαυάνθην] ὦστ' ἐπ' ἀφαυάνθην R ὦστ' ἀπαφαυάνθην VAM ὦστ' ἀπεφαυάνθην: (sic) U ‖ v. 1090 Παναθηναίοισι] πὰν ἀθηναίοισι R παναθηναίοισι corr. prima manus ex παναθηναῖοισι V παναθηναίοι: σι est in U ‖ v. 1091 ἄνθρωπός τις] ἀνθρωπος τίς A | ἔθει] ἐθει R ‖ v. 1092 λευκός,] λευκός· corr. ex λευκὸς· in R λευκὸς est in AM | ὑπολειπόμενος,] ὑπολιπόμενος· R ‖ v. 1093 ποιῶν] ποιών corr. ex ποιὼν in R | κᾆθ'] καῦθ' RV καῦθ' UAM | Κεραμῆς] κεραμεῖς AM ‖ v. 1094 ταῖσι] τοῖσι U | αὐτοῦ] αὐτου R ‖ v. 1095 γαστέρα] τὴν γαστέρα M | πλευράς,] πλευρὰς UA | πυγήν·] πυγὴν· VU πυγὴν A ‖ v. 1096 πλατείαις] πλατειαῖς V (πλατεῖαις lemma scholii in R) ‖ v. 1098 ἔφευγεν.] ἐφευγεν. R ἔφευγε⁝ V ἔφευγε: U ἔφευγε· corr. prima manus ex ἔφυγε· in M (ἔφευγεν. est in A) ‖ v. 1099 ΗΜΙΧ. α.] χορός codices | πολὺ] πολύ A | ἁδρὸς] ἀνδρὸς R | ἔρχεται] ερχεται R

ὅταν ὁ μὲν τείνῃ βιαίως,
ὁ δ' ἐπαναστρέφειν δύνηται κἀπερείδεσθαι τορῶς·
ἀλλὰ μὴ 'ν ταὐτῷ καθῆσθον·
εἰσβολαὶ γάρ εἰσι πολλαὶ χἄτεραι σοφισμάτων.
ὅ τι περ οὖν ἔχετον ἐρίζειν,
λέγετον, ἔπιτον, ἀνὰ δ' ἔρεσθον
τά τε παλαιὰ καὶ τὰ καινά,
κἀποκινδυνεύετον λεπτόν τι καὶ σοφὸν λέγειν.
ΗΜΙΧ. β. εἰ δὲ τοῦτο καταφοβεῖσθον, μή τις ἀμαθία προσῇ
τοῖς θεωμένοισιν, ὡς τὰ
λεπτὰ μὴ γνῶναι λεγόντοιν,
μηδὲν ὀρρωδεῖτε τοῦθ'· ὡς οὐκέθ' οὕτω ταῦτ' ἔχει.
ἐστρατευμένοι γάρ εἰσι,
βιβλίον τ' ἔχων ἕκαστος μανθάνει τὰ δεξιά·
αἱ φύσεις τ' ἄλλως κράτισται,
νῦν δὲ καὶ παρηκόνηνται.
μηδὲν οὖν δείσητον, ἀλλὰ

ADNOTATIO CRITICA.

v. 1106 ἀνὰ δ' ἔρεσθον Bergkius.

SCRIPTURAE DISCREPANTIA.

v. 1101 ὅταν] ὅτ' ἂν *RV* ὅτ' ἂν, *M* | τείνῃ] τείνῃ corr. ex τείνει in *R* τείνῃ est in *UA* ‖ v. 1102 ὁ δ'] ὃ δ' *V* ὃδ' *UAM* | κἀπερείδεσθαι] καπερείδεσθαι *R* κ' απερείδεσθαι *V* | τορῶς] τὸ ρῶς *RV* ‖ v. 1103 μὴ 'ν] μ' ην *R* μὴν *M* | ταὐτῷ] ταυτῶ *R* ταυτῷ *VM* ταὐτῶ *UA* | καθῆσθον·] κάθησθον· *RVM* κάθησθον: *U* κάθησθον *A* ‖ v. 1104 εἰσβολαὶ] ἐσβολαὶ *VUAM* (sed εἰσβολαὶ lemma scholii in *V*) | γάρ] γὰρ *V* | εἰσι] εισι *R* εἰσὶ *V* | πολλαὶ] πολλαί· *M* | χἄτεραι] χάτεραι *R* χἆτεραι *UM* χ' ἄτεραι *A* ‖ v. 1105 ἔχετον] εχετον *R* ‖ v. 1106 ἀνὰ δ' ἔρεσθον] ἀναδέρετον· *RU* ἀναδέρετον *VA* ἀναδέρετον, *M* ‖ v. 1107 τά τε] τά, τε *V* | καινά,] καινά· corr. ex καινὰ· in *R* et in *V* καινὰ est in *UA* ‖ v. 1108 κἀποκινδυνεύετον] κ' αποκινδυνεύετον *V* ‖ v. 1109 *ΗΜΙΧ. β*] omm. codices | δὲ] δε *R* δὴ *M* | μή] μῆ *R* | προσῇ] προσῆ· *U* προσῆ *AM* ‖ v. 1110 θεωμένοισιν,] θεομένοισιν *U* | τὰ] τα *R* τά: *U* ‖ v. 1112 μηδὲν] μὴδὲν *RV* | ὡς οὐκέθ'] ὡς οὐκ ἔσθ' *R* ὡς οὐκ' ἔσθ' *V* ὡς οὐκέτι *U* ὡς οὐκ ἔθ' *A* (ὡς οὐκέθ' *M*) | οὕτω ταῦτ'] ταῦθ' οὕτως *U* | ἔχει] ἔχειν *R* ‖ v. 1113 γάρ εἰσι,] γάρ εἰσὶ· *V* ‖ v. 1114 βιβλίον] βιβλίου *U* | δεξιά·] δεξιὰ: *U* δεξιὰ *A* ‖ v. 1115 τ' ἄλλως] δ' ἄλλως *R* τἄλλως *A* ‖ v. 1117 omissus est versus in *A* | μηδὲν] μὴδὲν *R* | οὖν] οὖν *R*

πάντ' ἐπέξιτον, θεατῶν γ' οὕνεχ', ὡς ὄντων σοφῶν.
ΕΥΡ. καὶ μὴν ἐπ' αὐτοὺς τοὺς προλόγους σου τρέψομαι,
ὅπως τὸ πρῶτον τῆς τραγῳδίας μέρος
πρώτιστον εὐθὺς βασανιῶ τοῦ δεξιοῦ.
[ἀσαφὴς γὰρ ἦν ἐν τῇ φράσει τῶν πραγμάτων.]
ΔΙΟ. καὶ ποῖον αὐτοῦ βασανιεῖς; ΕΥΡ. πολλοὺς πάνυ.
πρῶτον δέ μοι τὸν ἐξ Ὀρεστείας λέγε.
ΔΙΟ. ἄγε δὴ σιώπα πᾶς ἀνήρ. λέγ', Αἰσχύλε.
ΑΙΣ. Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη,
σωτὴρ γενοῦ μοι σύμμαχός τ' αἰτουμένῳ.
ἥκω γὰρ εἰς γῆν τήνδε καὶ κατέρχομαι.
τούτων ἔχεις ψέγειν τι; ΕΥΡ. πλεῖν ἢ δώδεκα.
ΑΙΣ. ἀλλ' οὐδὲ πάντα ταῦτά γ' ἔστ' ἀλλ' ἢ τρία.
ΕΥΡ. ἔχει δ' ἕκαστον εἰκοσίν γ' ἁμαρτίας.
ΑΙΣ. ὁρᾷς ὅτι ληρεῖς; ΕΥΡ. ἀλλ' ὀλίγον γέ μοι μέλει.

ADNOTATIO CRITICA.

v. 1121 pro αὐτοῦ, quod ex v. 1123 natum est, scripsi εὐθύς. — v. 1122 hunc versum spurium esse intellexit Meinekius. — v. 1132 transposuit et in vv. 1129—1134 verba recte inter personas distribuit Bergkius.

SCRIPTURAE DISCREPANTIA.

v. 1118 πάντ'] πάντοτ' *U* | θεατῶν] θεατων *R* | γ'] om. *U* | ὡς] ὠ *R* ‖ v. 1119 ἐπ' αὐτοὺς] ἐπαυτοὺς *R* | τοὺς] τους *R* | σου] σοι *A* ‖ v. 1120 πρῶτον] πρωτον *R* | τραγῳδίας] τραγωδίας *RVUAM* | μέρος] μερος *R* ‖ v. 1121 πρώτιστον] πρῶτιστον *V* | εὐθὺς] αὐτοῦ codices | τοῦ δεξιοῦ βασανιῶ (tr.) lemma scholii in *R* ‖ v. 1122 τῇ] τῆ *UA* ‖ v. 1123 αὐτοῦ] αὐτου *R* | βασανιεῖς; ΕΥΡ. πολλοὺς] βασανιεῖς: εὐρι^π: πολλοὺς *V* ‖ v. 1124 Ὀρεστείας] ορεστείας *R* ὀρεστίας *VUM* ‖ v. 1125 σιώπα] correctum ex τόνδε μοι σιώπα in *M* | ἀνήρ.] ἀνήρ· corr. ex ἀνὴρ· in *R* ‖ v. 1126 Ἑρμῆ] in ras. sed a prima manu est ε in ἑρμῆ in *V* | πατρῷ'] πατρῶ' *RVUA* ‖ v. 1127 σύμμαχός τ'] σύμμαχος τ' *V* | αἰτουμένῳ.] αἰτουμένω *UA* αἰτουμένω. *M* ‖ v. 1128 εἰς] ἐς *A* | τήνδε] τῆνδε *R* ‖ v. 1129 versui praefixa est Dionysi nota in *RVUA* | τι;] τί· *R* τί; *AM* | ΕΥΡ.] s. l. *V* ‖ v. 1130 ΑΙΣ.] om. *R* διόνυσος est in *VAM* | οὐδὲ] οὐδε *R* ουδὲ *V* | ταῦτα πάντα (tr.) *RU* | γ' ἔστ'] γ' εστιν, *V* γ' ἔστιν· *U* γ' ἐστίν· *M* | ἀλλ'] αλλ' *R* ἀλλ *V* ἢ] ἡ *R* ‖ v. 1131 ΕΥΡ.] om. *R* | ἔχει δ'] ἰχει δ' *R* ἔχει δ *V* | εἰκοσίν γ'] είκοσιν *R* εἴκοσι γ' *V* εἴκοσί γ' *UM* εἴκοσιν γ' *A* ‖ v. 1132 hic versus post v. 1136 legitur in codicibus | ὁρᾷς] ὁρᾶς *VUA* | ΕΥΡ.] διόνυσος *RVAM* (s. l. in *V*) | ὀλίγον] corr. prima manus ex ὁλίγον in *V* | γέ] γε *R* δέ *M*

ΔΙΟ. *Αἰσχύλε, παραινῶ σοι σιωπᾶν· εἰ δὲ μή,*
πρὸς τρισὶν ἰαμβείοις τι προσοφείλων φανεῖ.
ΑΙΣ. *ἐγὼ σιωπῶ τῷδ'; ΔΙΟ. ἐὰν πείθῃ γ' ἐμοί.*
ΕΥΡ. *εὐθὺς γὰρ ἡμάρτηκεν οὐράνιον ὅσον.*
ΑΙΣ. *πῶς φῄς μ' ἁμαρτεῖν; ΕΥΡ. αὖθις ἐξ ἀρχῆς λέγε.*
ΑΙΣ. *Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη.*
ΕΥΡ. *οὔκουν Ὀρέστης τοῦτ' ἐπὶ τῷ τύμβῳ λέγει*
τῷ τοῦ πατρὸς τεθνεῶτος; ΑΙΣ. οὐκ ἄλλως λέγω.
ΕΥΡ. *πότερ' οὖν τὸν Ἑρμῆν, ὡς ὁ πατὴρ ἀπώλετο*
αὐτοῦ βιαίως ἐκ γυναικείας χερὸς
δόλοις λαθραίοις, ταῦτ' ἐποπτεύειν ἔφη;
ΑΙΣ. *οὐ δῆτ' ἐκεῖνος, ἀλλὰ τὸν Ἐριούνιον*
Ἑρμῆν χθόνιον προσεῖπε, κἀδήλου λέγων
ὁτιὴ πατρῷον τοῦτο κέκτηται γέρας.

ADNOTATIO CRITICA.

v. 1134 *ἰαμβείοις τι* e coniectura scripsi — v. 1136 *οὐράνιον ὅσον* Hermannus.

SCRIPTURAE DISCREPANTIA.

v. 1133 *δὲ*] *δε R* | *μή,*] *μὴ RA* *μὴ, VUM* ‖ v. 1134 *πρὸς*] *προς R* | *ἰαμβείοις τι*] *ἰάμβυισιν R* *ἰαμβείοις V* *ἰαμβίοισι U* *ἰαμβείοισι A* *ἰαμβείοισι* minio corr. prima manus ex *ἰαμβείοις* in *M* *προσοφείλων*] *προσὸφείλων R* | *φανεῖ.*] *φανῆι. R* *φανηῖ.* corr. prima manus ex *φανει.* in *V* *φανῇ.* est in *UAM* ‖ v. 1135 *τῷδ';*] *τῷδε· R* *τῶδε·* corr. a prima manus ex *τόδε· V* *τῶδ'* est in *U* *τῶδε; A* *τῷδε; M* | *ΔΙΟ. ἐὰν*] *ἐ διό̓ ἀν* (sic) *U* | *ἐὰν*] *ἀν V* *ἄν M* | *πείθῃ*] *πείθη RUA* | *ἐμοί.*] *ἐμοί·* corr. ex *ἐμοὶ· R* *ἐμοὶ.* est in *V* *ἐμοὶ: U* ‖ v. 1136 *ΕΥΡ.*] om. *R* | *οὐράνιον*] *οὐρανιον R* | *ὅσον.*] *γ' ὅσον. RVM* *·γ' ὅσον UA* ‖ v. 1137 *ΑΙΣ.*] om. *R* | *φῄς*] *φὴ̈ς R* *φῆ̈ς V* *φής UAM* | *ἁμαρτεῖν;*] *ἐξαμαρτεῖν· M* | *ΕΥΡ.*] s. l. *V* minio s. l. *A* | *ἀρχῆς*] *αρχῆς R* ‖ v. 1138 *χθόνιε,*] *χθόνε R* | *πατρῷ'*] *πατρω' VU* *πατρῷ'* minio correctum ex *πατρῶ'* in *A* ‖ v. 1139 *οὔκουν*] *οὐκοῦν A* | *ἐπὶ*] *ἐπι RV* | *τῷ*] omm. *VM* *τῶ* est in *UA* | *τύμβῳ*] *τύμβω VUA* ‖ v. 1140 *τῷ*] *τῶ UA* | *τεθνεῶτος;*] *τεθνεώτος:* (uterque accentus a prima manu) *V* (*τεθνεῶτος: R* *τεθνεῶτος, U* *τεθνεῶτος· A*) | *οὐκ ἄλλως λέγω.*] *οὔκ' ἀλλ' ἐγώ: V* ‖ v. 1141 *πότερ'*] *πότερρν VM* | *Ἑρμῆν,*] *ἑρμὴν R* ‖ v. 1142 *χερὸς*] *χειρὸς R* *χερός· V* (*χερὸς· U*) ‖ v. 1143 *ἐποπτεύειν*] corr. ex *ἐποπτεύων* M^2 ‖ v. 1144 *ἐκεῖνος,*] *ἐκεῖνον. VU* *ἐκεῖνον A* *ἐκεῖνον, M* (*ἐκεῖνος· R*) | *ἀλλὰ*] *αλλὰ V* ‖ v. 1145 *προσεῖπε,*] rasura correctum ex *πρὸσεῖπε* in *V* | *κἀδήλου*] *κ' αδήλου V* ‖ v. 1146 *ὁτιὴ*] *ὁτιῆ R* *ὅτιὴ V* *ὅτι A* | *πατρῷον*]

ΕΥΡ. ἔτι μεῖζον ἐξήμαρτες ἢ 'γὼ 'βουλόμην·
εἰ γὰρ πατρῷον τὸ χθόνιον ἔχει γέρας,
ΔΙΟ. οὕτως ἂν εἴη πρὸς πατρὸς τυμβωρύχος.
ΑΙΣ. Διόνυσε, πίνεις οἶνον οὐκ ἀνθοσμίαν.
ΔΙΟ. λέγ' ἕτερον αὐτῷ· σὺ δ' ἐπιτήρει τὸ βλάβος.
ΑΙΣ. σωτὴρ γενοῦ μοι σύμμαχός τ' αἰτουμένῳ.
ἥκω γὰρ εἰς γῆν τήνδε καὶ κατέρχομαι.
ΕΥΡ. δὶς ταὐτὸν ἡμῖν εἶπεν ὁ σοφὸς Αἰσχύλος.
ΔΙΟ. πῶς δίς; ΕΥΡ. σκόπει τὸ ῥῆμ'· ἐγὼ δέ σοι φράσω.
ἥκω γὰρ εἰς γῆν, φησί, καὶ κατέρχομαι·
[ἥκω δὲ ταὐτόν ἐστι τῷ κατέρχομαι.]

ADNOTATIO CRITICA.

v. 1157 ἥκω Gellius — hunc versum iam in codice ambrosiano expunctum, ut spurium, uncis seclusi, cfr. scholium in codice veneto: τὸ ἥκειν φησὶ ταυτόν ἐστὶ τὸ κατέρχεται (scrib. τῷ κατέρχεσθαι): ex eiusmodi enim scholio versus ortus est (his diebus Rudolphus Prinzius meus mihi scripsit hunc versum etiam ab Herwerdeno ut spurium condemnatum esse atque ab eodem viro doctissimo in v. 944 Κηφισοφῶντα μιγνύς. verba Dionyso data esse).

SCRIPTURAE DISCREPANTIA.

πατρῶον *UA* ‖ v. 1147 μεῖζον] μᾶλλον *RU* | ἐξήμαρτες] ἐξήμαρτεν *R* ἐξ' ἥμαρτες *U* | ἢ] η *R* | 'γὼ] γὼ *M* | 'βουλόμην·] βουλόμην· *RVA* ‖ v. 1148 versui praefixa est Dionysi nota in *UM* | πατρῷον] πατρῶον *UA* ‖ v. 1149 ΔΙΟ.] omm. *RUM* | οὕτως ἂν] οὕτω γ' ἂν *VA* (etiam lemma scholii in *V*) οὕτω γ' ἄν, *M* | εἴη] εἰή· *R* ‖ v. 1150 οὐκ] οὐκ' *R* ‖ v. 1151 ΔΙΟ.] nota personae, quae versui praefixa erat, madore ita exstincta est, ut legi non possit *U* | λέγ'] λεγ' *V* | αὐτῷ·] αυτῷ· *V* αὐτῶ· *U* αὐτῷ. corr. ex αὐτω. in *A* | σὺ δ'] σύ δ' *A* σύ δ' corr. prima manus ex σὺ δ' in *M* ‖ v. 1152 σύμμαχός] συμμαχός *R* σύμμαχος *A* | τ' αἰτουμένῳ.] τ' αἰτουμένω:, (sic) *V* τ' αἰτουμένω, *U* τ' αἰτουμένω. *A* ‖ v. 1153 ἥκω] ἥκω *A* | εἰς] ἐς *AM* | τήνδε] τῆνδε *R* τῆνδε· *V* ‖ vv. 1154, 55, 56 in contextu omissos in margine dextro adscripsit prima manus in *A* ‖ v. 1154 ταὐτὸν] ταυτὸν *RVUM* τ' αυτὸν *A* | εἶπεν] εἰπεν *R* | Αἰσχύλος.] αἰσχῦλος: *V* ‖ v. 1155 ΔΙΟ.] αἰσχύλος *RAM* | ῥῆμ'·] ῥῆμα· *M* | δὲ] δε *V* ‖ v. 1156 ἥκω] ταῦτα· ἥκω *M* | γὰρ] γάρ *A* | εἰς] ἐς *A* εἰς corr. ex ἐς M^2 | φησί,] φησὶ *R* φησί. *V* φησι *U* φησὶν *A* φησι in contextu omissum supra lineam adscripsit M^2 ‖ v. 1157 ἥκω] ἥκειν *RVUAM* | ταὐτόν] ταυτὸν *R* ταυτόν reliqui codices | ἐστι] ἐστὶ *R* | τῷ] corr. prima manus ex τὸ in *R* τῶ est in *U* | verba ἥκειν δὲ, ταυτόν ἐστι τῷ κατέρχομαι. expuncta

ΔΙΟ. νὴ τὸν Δί', ὥσπερ γ' εἴ τις εἴποι γείτονι,
χρῆσον σὺ μάκτραν, εἰ δὲ βούλει, κάρδοπον.
ΑΙΣ. οὐ δῆτα τοῦτό γ', ὦ κατεστωμυλμένε
ἄνθρωπε, ταὔτ' ἔστ', ἀλλ' ἄριστ' ἐπῶν ἔχον.
ΔΙΟ. πῶς δή; δίδαξον γάρ με καθ' ὅ τι δὴ λέγεις.
ΑΙΣ. ἥκειν μὲν εἰς γῆν ἔσθ' ὅτῳ μετῇ πάτρας·
χωρὶς γὰρ ἄλλης συμφορᾶς ἐλήλυθεν·
φεύγων δ' ἀνὴρ ἥκει τε καὶ κατέρχεται.
ΔΙΟ. εὖ νὴ τὸν Ἀπόλλω. τί σὺ λέγεις, Εὐριπίδη;
ΕΥΡ. οὔ φημὶ τὸν Ὀρέστην κατελθεῖν οἴκαδε·
λάθρᾳ γὰρ ἦλθεν, οὐ πιθὼν τοὺς κυρίους.
ΔΙΟ. εὖ νὴ τὸν Ἑρμῆν· ὅ τι λέγεις δ' οὐ μανθάνω.
ΕΥΡ. πέραινε τοίνυν ἕτερον. *ΔΙΟ.* ἴθι πέραινε σύ,
Αἰσχύλ', ἀνύσας· σὺ δ' εἰς τὸ κακὸν ἀπόβλεπε.
ΑΙΣ. τύμβου δ' ἐπ' ὄχθῳ τῷδε κηρύσσω πατρὶ
κλύειν, ἀκοῦσαι. *ΕΥΡ.* τοῦθ' ἕτερον αὖ δὶς λέγει,

ADNOTATIO CRITICA.

v. 1162 Dionysi personam versui praefixit Brunckius. — v. 1163 ἥκειν Hirschigius. — v. 1173 αὖ δὶς Bakius.

SCRIPTURAE DISCREPANTIA.

sunt in *M* ‖ v. 1158 ὥσπερ γ'] ὥσπερ correctum ex ὥσπερ γ' in *A* | εἴ] εἶ *R* ἦν *U* | εἴποι] εἴπη *U* γ' εἴποι *A* ‖ v. 1159 inter χ et ρ in χρῆσον] scribi coeptum erat η in *R* | δὲ] δε *R* ‖ v. 1160 τοῦτό γ',] τοῦτο γ' *VAM* ‖ v. 1161 ταὔτ'] ταῦτ' *RVM* | ἔστ',] ἐστ' *V* | ἀλλ'] ἄλλ' *V* | ἔχον.] ἔχειν *U* ‖ v. 1162 *ΔΙΟ.*] εὐριπίδης *RVUAM* | δή;] δή· corr. ex δὴ· in *R* δὴ· est in *V* δὴ *UA* δή· *M* | δίδαξον] διδαξόν *V* | καθ' ὅ τι] καθότι *UAM* ‖ v. 1163 ἥκειν] ἐλθεῖν codices | εἰς] ἐς *VUAM* | ἔσθ'] ἐσθ' *M* | ὅτῳ] ὅτω *UA* | μετῇ] μετῆ *UAM* ‖ v. 1164 χωρὶς] χωρις corr. prima manus ex χωρεῖς in *R* | συμφορᾶς] συμφορὰς *R* | ἐλήλυθεν·] ἐλήλυθε *A* ἐλήλυθε· *M* ‖ v. 1165 ἥκει] ἡκει *R* | τε] τὲ *AM* ‖ v. 1166 τί] τὶ *M* | λέγεις] λεγεις *R* ‖ v. 1167 οὔ φημὶ] οὔ φημι *VUM* ‖ v. 1168 λάθρᾳ] λαῖθρα *R* λάθρα *UAM* | ἦλθεν,] ἦκεν *U* ‖ v. 1169 Ἑρμῆν] ἑρμῆν corr. ex ἑρμὴν in *R* | ὅ τι] ὅ, τι *A* ‖ v. 1170 supra αι in πέραινε] rasura est in *V* | ἕτερον] τὸν ἕτερον *M* | *ΔΙΟ.*] s. l. *V* | ἴθι] ἴθι δὴ *A* | σύ,] σὺ· corr. ex σύ· in *R* σὺ est in *VUAM* ‖ v. 1171 σὺ δ'] σύ δ' *AM* | εἰς] ἐς *VAM* | τὸ] τὸν *U* ‖ v. 1172 τύμβου] corr. ex τύμβω in *R* et (a prima manu) in *V* | ὄχθῳ] ὄχθω *UA* prima manus super χθῳ (in ὄχθῳ) scripsit χθην in *M* | τῷδε] τῶδε *U* τάδε *A* τάδε rasura correctum ex τῷδε *M* | πατρὶ] πατρι *A* ‖ v. 1173 αὖ δὶς]

κλύειν, ἀκοῦσαι, ταὐτὸν ὂν σαφέστατα.
ΔΙΟ. *τεθνηκόσιν γὰρ ἔλεγεν, ὦ μοχθηρὲ σύ,*
οἷς οὐδὲ τρὶς λέγοντες ἐξικνούμεθα.
ΑΙΣ. *σὺ δὲ πῶς ἐποίεις τοὺς προλόγους;* *ΕΥΡ.* *ἐγὼ φράσω.*
κἄν που δὶς εἴπω ταὐτόν, ἢ στοιβὴν ἴδῃς
ἐνοῦσαν ἔξω τοῦ λόγου, κατάπτυσον.
ΔΙΟ. *ἴθι δὴ λέγ'· οὐ γάρ μοὔστιν ἀλλ' ἀκουστέα*
τῶν σῶν προλόγων τῆς ὀρθότητος τῶν ἐπῶν.
ΕΥΡ. *ἦν Οἰδίπους τὸ πρῶτον εὐδαίμων ἀνήρ,*
ΑΙΣ. *μὰ τὸν Δί' οὐ δῆτ', ἀλλὰ κακοδαίμων φύσει,*
ὅντινά γε, πρὶν φῦναι μέν, Ἀπόλλων ἔφη
ἀποκτενεῖν τὸν πατέρα, πρὶν καὶ γεγονέναι,
πῶς οὗτος ἦν τὸ πρῶτον εὐδαίμων ἀνήρ;
ΕΥΡ. *εἶτ' ἐγένετ' αὖθις ἀθλιώτατος βροτῶν.*
ΑΙΣ. *μὰ τὸν Δί' οὐ δῆτ', οὐ μὲν οὖν ἐπαύσατο.*

ADNOTATIO CRITICA.

v. 1175 *μοχθηρὲ* Dindorfius. — v. 1184 *Ἀπόλλων* Valckenarius. — v. 1186 *εὐδαίμων* Brunckius. — v. 1188 *οὐ μὲν οὖν* Dindorfius.

SCRIPTURAE DISCREPANTIA.

αὖθις codices ‖ v. 1174 *ταὐτὸν*] *ταυτὸν* codices | *ὂν*] *ὃν* *V* ‖ v. 1175 *τεθνηκόσιν*] *τεθνηκόσι* *M* | *μοχθηρὲ*] *μόχθηρε* *RVAM* | *σύ,*] *σὺ* *U* (*σύ* *RA* *σύ·* *V*) ‖ v. 1176 *οὐδὲ*] *οὐδε* *RV* ‖ v. 1177 *σὺ δὲ πῶς* verba in rasura sunt, sed a prima manu in *V* | *δὲ*] *δε* *R* | *φράσω*] *φρασω* *R* ‖ v. 1178 *δὶς*] *δις* *V* *δίς* *A* | *ταὐτόν,*] *ταυτὸν·* *RU* *ταὐτὸν,* *V* *ταυτὸν* *AM* | *ἴδῃς*] *ἰδῃς* *R* *ἴδης* *UAM* ‖ v. 1179 *ἐνοῦσαν*] *ἐνούσαν* *U* | *ἔξω*] corr. ex *ἔξω* in *R* ‖ v. 1180 *ΔΙΟ.*] om. *V* | *λέγ'*] *λέγε* *R* | *μοὔστιν*] *μόστιν* *R* *μοὔστιν·* *V* *μοῦστιν,* *M* | *ἀκουστέα*] *ἀκουστέον·* *R* *ἀκοστέα* *U* ‖ v. 1181 *ὀρθότητος*] *ὀρθότητος* *V* ‖ v. 1182 *τὸ πρῶτον*] *τοπρῶτον* *A* *τοπρώτον,* *M* | *εὐδαίμων*] *εὐτυχὴς* *VAM* | *ἀνήρ,*] *ἀνήρ⁝* corr. ex *ἀνὴρ⁝* *V* ‖ vv. 1183—1186 (incl.) in contextu omissi in margine adscripti sunt in *U* ‖ v. 1183 *μὰ*] *νὴ* *RU* | *ἀλλὰ*] *ἀλλα* *R* ‖ v. 1184 *ὅντινά γε,*] *ὅντινα* *R* | *φῦναι*] *φύναι* *A* | *μέν,*] *μὲν* *RA* *μὲν·* *V* *μὲν,* *M* (*μέν* *U*) | *Ἀπόλλων*] *ἀπόλλων* *RVAM* *ὠπόλλων* *U* ‖ v. 1185 *πατέρα,*] *πατερα* *V* ‖ v. 1186 *οὗτος*] *οὗτος* *R* | *τὸ πρῶτον*] *τοπρῶτον* *A* *τοπρῶτον* *M* | *εὐδαίμων*] *εὐτυχὴς* *RVUAM* | *ἀνήρ;*] *ἀνήρ⁝* corr. prima manus ex *ἀνὴρ⁝* in *V* *ἀνὴρ* est in *A* (*ἀνήρ·* *RM* *ἀνήρ* *U*) ‖ v. 1187 *εἶτ'*] *εἶτ'* *R* | *ἐγένετ'*] *εγένετ'* *R* ‖ v. 1188 *οὐ μὲν οὖν*] *οὖ μεν οὖν* *R* *οὖ μὲν οὖν* *V* *οὐμενουν* *U* *οὖμενουν* *AM* *οὖμενουν οὐ δῆτ'* (tr.) *A* | *ἐπαύσατο*] *επαύσατο* *R* ‖

πῶς γάρ; ὅτε δὴ πρῶτον μὲν αὐτὸν γενόμενον
χειμῶνος ὄντος ἐξέθεσαν ἐν ὀστράκῳ,
ἵνα μὴ 'κτραφεὶς γένοιτο τοῦ πατρὸς φονεύς·
εἶθ' ὡς Πόλυβον ἤρρησεν οἰδῶν τὼ πόδε·
ἔπειτα γραῦν ἔγημεν αὐτὸς ὢν νέος,
καὶ πρός γε τούτοις τὴν ἑαυτοῦ μητέρα·
εἶτ' ἐξετύφλωσεν αὑτόν. ΔΙΟ. εὐδαίμων ἄρ' ἦν,
εἰ κἀστρατήγησέν γε μετ' Ἐρασινίδου.
ΕΥΡ. ληρεῖς· ἐγὼ δὲ τοὺς προλόγους καλῶς ποιῶ.
ΑΙΣ. καὶ μὴν μὰ τὸν Δί' οὐ κατ' ἔπος γέ σου κνίσω
τὸ ῥῆμ' ἕκαστον, ἀλλὰ σὺν τοῖσιν θεοῖς
ἀπὸ ληκυθίου σου τοὺς προλόγους διαφθερῶ.
ΕΥΡ. ἀπὸ ληκυθίου σὺ τοὺς ἐμούς; ΑΙΣ. ἑνὸς μόνου.
ποιεῖς γὰρ οὕτως ὥστ' ἐναρμόττειν ἅπαν,

ADNOTATIO CRITICA.

post v. 1192 excidisse videtur versus, quo de Laio a filio occiso actum erat, ita fere comparatus: *μετὰ ταῦτ' ἐφόνευσε πατέρα, πρὶν κἀγνωκέναι.*

SCRIPTURAE DISCREPANTIA.

v. 1189 *πῶς*] *πως R* | *γάρ;*] *γὰρ RAM* *γάρ· V* | *δὴ*] *δη V* | *μὲν*] *μεν R* ‖ v. 1190 *ὀστράκῳ,*] *οστράκῳ R* *ὀστράκω UA* ‖ v. 1191 *'κτραφεὶς*] *κτραφεὶς* correctum ex *κταφεὶς* in *R* *ἐκτραφεὶς* est in *M* | *πατρὸς*] *πατρος A* | *φονεύς·*] *φονεὺς U* ‖ v. 1192 *εἶθ'*] *εἴθ' R* | *ἤρρησεν*] *ἠρρησεν R* *ἤρρησεν* corr. prima manus ex *ἤρησεν* in *V* | *τὼ*] correctum ex *τῶ* in *R* ‖ v. 1193 *ἔγημεν*] *έγημεν R* | *ὢν νέος,*] *ὢ νεος R* ‖ v. 1194 *ἑαυτοῦ*] corr. prima manus ex *ἑαυτοῦ* in *V* | *μητέρα·*] *μητερα A* ‖ v. 1195 *ἐξετύφλωσεν*] correctum ex *ἐξετλύφλωσεν* in *A* | *αὑτόν.*] *αὐτόν. R* *αὑτόν*: corr. prima manus ex *αὐτὸν*: in *V* *ἑαυτόν·* est in *A* *ἑαυτόν.* in *M* | *ἄρ'*] corr. prima manus ex *ἆρ'* in *V* ‖ v. 1196 *κἀστρατήγησέν*] *κ' ἀστρατήγησεν R* *κ' αστρατήγησέν V* *κἀστρατήγησέ M* | *μετ' Ἐρασινίδου*] *μέτ' ἐρασινίδου* (lemma scholii *μετ' ερασινίδου*) *R* ‖ v. 1197 *δὲ*] *δε V* | *καλῶς*] *καλοὺς RVM* | *ποιῶ.*] *ποῶ. R* *πυῶ U* *ποῶ· A* ‖ v. 1198 *ΑΙΣ.*] om. *V* | *κατ' ἔπος*] *κατέπος R* | *γέ*] *γε R* ‖ v. 1199 *ἀλλὰ σὺν*] *ἀλλα συν R* | *τοῖσιν θεοῖς*] *τοῖσι θεοῖς, UM* ‖ v. 1200 hic versus omissus est in *V* | *ἀπὸ*] *ἀπο RA* | *σου*] *σοι A* ‖ vv. 1201—1209 (incl.) in contextu omissos adscripsit prima manus in minore folio, quod insertum est in *M* ‖ v. 1201 *ΕΥΡ.*] om. *V* | *ἀπὸ*] *ἀπο R* | *ληκυθίου*] *ληκηθύου V* | *ἐμούς;*] *ἐμούς,*⁝ (sic) *V* *ἐμούς, U* | *ἑνὸς*] *ἑνὸς V* | *μόνου.*] *μόνου: M* (*μόνου, V μόνου A*) ‖ v. 1202 *ποιεῖς γὰρ οὕτως*] *ποεῖς γαρ οὕτω* lemma scholii in *V* |

καὶ κῳδάριον καὶ ληκύθιον καὶ θυλάκιον,
ἐν τοῖς ἰαμβείοισι. δείξω δ' αὐτίκα.
ΕΥΡ. ἰδού, σὺ δείξεις; ΑΙΣ. φημί. ΔΙΟ. καὶ δὴ χρὴ
λέγειν.
ΕΥΡ. Αἴγυπτος, ὡς ὁ πλεῖστος ἔσπαρται λόγος,
ξὺν παισὶ πεντήκοντα ναυτίλῳ πλάτῃ
Ἄργος κατασχὼν ΑΙΣ. ληκύθιον ἀπώλεσεν.
ΔΙΟ. τουτὶ τί ἦν τὸ ληκύθιον; οὐ κλαύσεται;
λέγ' ἕτερον αὐτῷ πρόλογον, ἵνα καὶ γνῶ πάλιν.
ΕΥΡ. Διόνυσος, ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς
καθαπτὸς ἐν πεύκαισι Παρνασὸν κάτα
πηδᾷ χορεύων, ΑΙΣ. ληκύθιον ἀπώλεσεν.

ADNOTATIO CRITICA.

v. 1203 θυλάκιον in fine versus corruptum est, neque Fritzschii coniectura θύλακον ferri potest, sed audaciore remedio sananda videtur corruptela, ita ut scribendi sint vv. 1202 et 1203: ποιεῖς γὰρ οὕτως ὥστε ληκύθιον ἅπαν | καὶ κῳδάριον καὶ θυλάκιον ἐναρμόσειν. Futurum in ἐναρμόσειν spectat ad exempla illa, quae in versibus proximis proferuntur.

SCRIPTURAE DISCREPANTIA.

ἐναρμόττειν] ἐναρμόζειν *R* ‖ v. 1203 κῳδάριον] κωδάριον· *RV* κωδάριον: *U* κωδάριον *A* κωδάριον, *M* | θυλάκιον,] θυλάκιον corr. ex θιλάκιον in *A* | καὶ ληκύθιον: καὶ κωδάριον: (tr.) καὶ θυλάκιον· *U* ‖ v. 1204 ἰαμβείοισι.] ἰαμβίοισι. *R* ἰαμβίοισι, *U* ‖ v. 1205 *ΕΥΡ.*| om. *A* | ἰδού,] ἰδοὺ *RUAM* ἰδοῦ *V* | δείξεις;] δείξεις; : (sic) *V* | *ΑΙΣ.*] εὐρι$^{\pi\delta}$ *A* | φημί.] φημὶ: *U* | *ΔΙΟ.*] αἰ$^{\sigma\chi\lambda}$ *A* | φημί : δι^{o}: καὶ δὴ χρὴ λ in verbis φημί : δι^{o}: καὶ δὴ χρὴ λέγειν in rasura sunt, sed a prima manu in *V* ‖ v. 1207 ξὺν] ξυν *R* | παισὶ] παισὶν *U* | ναυτίλῳ πλάτῃ] ναυτίλω πλάτη *UA* ‖ v. 1208 κατασχὼν] κατασχών· *R* κατασχών; corr. prima manus ex κατασχὼν; in *V* κατασχὼν, est in *UM* κατασχὼν; *A* | ληκύθιον] ληκυθιον *V* | ἀπώλεσεν.] ἀπώλεσεν⁝ (sic) *V* ἀπώλεσε· *U* ‖ v. 1209 *ΔΙΟ.*] versus Euripidi datur in *RUAM* (Dionyso in *V*) | τουτὶ] τοῦτὶ *R* τουτί *A* | τί] τὶ *M* | τὸ] το *V* ‖ v. 1210 versui Dionysi nota praefixa est in *RUAM* (nulla novae personae nota est in *V*) | λέγ'] ras. corr. ex λέγετ' in *V* | ἕτερον] ἑτερον *R* | αὐτῷ] αὐτῶ *RUA* | καὶ] om. *U* ‖ v. 1211 ὃς] om. *R* | νεβρῶν] νευρῶν *A* ‖ v. 1212 καθαπτὸς] minio correctum ex καθαπτὰς in *A* | πεύκαισι] πεύκῃσι *VM* πεύκησι *A* | Παρνασὸν] παρνασσὸν *R* παρνασσὸν corr. prima manus ex παρνασὸν in *V* παρνασῶν est in *A* κάτα] κάτω *M* ‖ v. 1213 πηδᾷ] πηδᾶ *VUAM* | χορεύων,] corr.

ΔΙΟ. οἴμοι πεπλήγμεθ' αὖθις ὑπὸ τῆς ληκύθου.
ΕΥΡ. ἀλλ' οὐδὲν ἔσται πρᾶγμα· πρὸς γὰρ τουτονὶ
τὸν πρόλογον οὐχ ἕξει προσάψαι λήκυθον.
οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ·
ἢ γὰρ πεφυκὼς ἐσθλὸς οὐκ ἔχει βίον,
ἢ δυσγενὴς ὢν ΑΙΣ. ληκύθιον ἀπώλεσεν.
ΔΙΟ. Εὐριπίδη, ΕΥΡ. τί ἔσθ'; ΔΙΟ. ὑφέσθαι μοι δοκεῖ.
τὸ ληκύθιον γὰρ τοῦτο πνευσεῖται πολύ.
ΕΥΡ. οὐδ' ἂν μὰ τὴν Δήμητρα φροντίσαιμί γε·
νυνὶ γὰρ αὐτοῦ τοῦτό γ' ἐκκεκόψεται.
ΔΙΟ. ἴθι δὴ λέγ' ἕτερον κἀπέχου τῆς ληκύθου.
ΕΥΡ. Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπὼν
Ἀγήνορος παῖς ΑΙΣ. ληκύθιον ἀπώλεσεν.
ΔΙΟ. ὦ δαιμόνι' ἀνδρῶν, ἄγε πρίω τὴν λήκυθον,
ἵνα μὴ διακναίσῃ τοὺς προλόγους ἡμῶν. ΕΥΡ. τὸ τί;
ἐγὼ πρίωμαι τῷδ'; ΔΙΟ. ἐὰν πείθῃ γ' ἐμοί.

ADNOTATIO CRITICA.

v. 1220 ἔσθ' Bentleius — δοκεῖ Kusterus. — v. 1227 ἄγε πρίω Meinekius. — v. 1228 fortasse pro τὸ τί; scribendum est ἰδού, cfr. v. 1205.

SCRIPTURAE DISCREPANTIA.

ex χορεύων· M^2 ‖ v. 1214 ὑπὸ] ὑπο R ‖ v. 1215 τουτονὶ] τουτονί A ‖ v. 1216 οὐχ] οὐχ' A | ἕξει] εξει R | προσάψαι] πρὸσάψαι V | λήκυθον] ληκύθιον R ‖ v. 1217 versui praefixum est: εῦρ (π suprascr.) in R γν (ω suprascr.) (quod ortum esse videtur ex glossemate: γνώμη) M | ἔστιν] ἐστιν R ‖ v. 1218 πεφυκὼς] correctum ex πεφυκῶς in R πεφυκῶς est in A | ἔχει] ἐχει R ‖ v. 1219 ἢ] ἡ R | ὢν] ὤν· R ὤν: V ὢν, U ὢν, πλουσίαν, | ἄρη πλάκα, M ‖ v. 1220 ΕΥΡ.] : R | ἔσθ';] εστιν: R ἐστὶν: V ἐστιν UA ἐστιν· M | δοκεῖ] δοκεῖς codices ‖ v. 1221 πνευσεῖται] πευσεῖται U | πολύ.] πολύ: correxit prima manus ex πολὺ: in V πολὺ est in U ‖ v. 1222 οὐδ'] minio corr. ex οὐκ in A | μὰ] μα R | Δήμητρα] δήμητραν RUAM δήμητρα corr. prima manus inter scribendum ex δήμητραν in V ‖ v. 1223 τοῦτό γ'] τοῦτο γ' M | ἐκκεκόψεται] εκκεκόψεται R ‖ v. 1224 ἴθι] ἴθι V | κἀπέχου] κ' ἀπέχου R κ' απέχου V ‖ v. 1225 Σιδώνιόν] σιδώνιον RVAM | ποτ'] πότ' VA δή ποτ' M | ἐκλιπὼν] ἐκλιπών, A ‖ v. 1226 Ἀγήνορος] αἰγήνορος V | παῖς] παῖς: R παῖς: V παῖς, UAM ‖ v. 1227 ἄγε πρίω] ἀποπρίω codices ‖ v. 1228 μὴ] μη V | διακναίσῃ] διὰ κναίση V διακναίση UAM | ΕΥΡ.] : R | τὸ] το RVU | τί;] τί· corr. ex τὶ· M^2 ‖ v. 1229 πρίωμαι] πριῶμαι A πρίωμαι

ΕΥΡ. οὐ δῆτ', ἐπεὶ πολλοὺς προλόγους ἔχω λέγειν
ἵν' οὗτος οὐχ ἕξει προσάψαι λήκυθον.
Πέλοψ ὁ Ταντάλειος εἰς Πῖσαν μολὼν
θοαῖσιν ἵπποις *ΑΙΣ.* ληκύθιον ἀπώλεσεν.
ΔΙΟ. ὁρᾷς, προσῆψεν αὖθις αὖ τὴν λήκυθον.
ἀλλ', ὠγάθ', ἔτι καὶ νῦν ἀπόδου πάσῃ τέχνῃ·
λήψει γὰρ ὀβολοῦ πάνυ καλήν τε κἀγαθήν.
ΕΥΡ. μὰ τὸν Δί' οὔπω γ'· ἔτι γὰρ εἰσί μοι συχνοί.
Οἰνεύς ποτ' ἐκ γῆς *ΑΙΣ.* ληκύθιον ἀπώλεσεν.
ΕΥΡ. ἔασον εἰπεῖν πρῶθ' ὅλον με τὸν στίχον.
Οἰνεύς ποτ' ἐκ γῆς πολύμετρον λαβὼν στάχυν,
θύων ἀπαρχὰς *ΑΙΣ.* ληκύθιον ἀπώλεσεν.
ΔΙΟ. μεταξὺ θύων; καὶ τίς αὖθ' ὑφείλετο;

ADNOTATIO CRITICA.

v. 1230 *ἔχω* cum Dobraeo scripsi. — v. 1232 *Πῖσαν* Dindorfius.

SCRIPTURAE DISCREPANTIA.

corr. ex *πριῶμαι* *M*² | *τῷδ';*] *τῷδε· R τῷδε:* (sic etiam lemma scholii) *V τῶδε, U τωδ'; A τῶδε;* corr. ex *τάδε· M*² | *ἐὰν*] *ἐᾶν V* | *πείθῃ*] *πείθη RUA* | *γ' ἐμοί.*] *γ' εμοί. R γ' ἐμοὶ. U γέ μοι; M* ‖ v. 1230 *ΕΥΡ.*] om. *R* | *ἐπεὶ*] *ἐπειδὴ RUA* | *πολλοὺς*] omm. *RA* | *ἔχω*] *ἑξω R ἕξω* reliqui codices ‖ v. 1231 *οὐχ*] *οὐχ' A* | *ἕξει*] *ἑξει R ἕξει* corr. prima manus ex *ἔξει* in *M* | *προσάψαι*] : *πρόσάψαι* erat in *R*, corr. a prima manu in *προσάψαι πρὸσ ἀψαι* est in *V* | *λήκυθον.*] *ληκύθιον RU* ‖ v. 1232 versui praefixum est: *ευρ͞π* in *R* | *Πέλοψ*] *πέλοψ' RV* | *Πῖσαν.*] *πεισαν R πίσαν VUA πίσσαν M* | *μολὼν*] corr. ex *μολῶν* in *R* corr. ex *μολών* in *V* ‖ v. 1233 *ἵπποις*] *ἵπποις· R ἵπποις: V ἵπποις, UAM* ‖ v. 1234 *ὁρᾷς,*] *ὁρᾶς, U ὁρᾶς; A* (*ὁρᾷς R ὁρᾷς; VM*) | *αὖθις*] *αὖθις R* | *αὖ*] omm. *VM* ‖ v. 1235 *ὠγάθ'*] *ὦ 'γάθ' A* | *ἀπόδου*] (sic *A*) *ἀπόδυς* reliqui codices | *πάσῃ*] *πάση VUA* | *τέχνῃ·*] *τέχνη U τέχνη. A* ‖ v. 1236 supra *ει* in *λήψει* scripsit prima manus *η* in *M* | *ὀβολοῦ*] *ὑβολοῦ R* | *πάνυ*] omm. *VM* | *κἀγαθήν.*] *κ' ἀγαθήν. R κ' αγαθήν.* corr. prima manus ex *κ' αγαθὴν.* in *V κἀγαθὴν* est in *UA* ‖ v. 1237 *μὰ*] *μα V* | *γὰρ*] *γάρ M* | *συχνοί.*] *συχνοί·* corr. prima manus ex *συχνοὶ·* in *V συχνοὶ.* est in *U συχνοί,* in *M* ‖ v. 1238 *Οἰνεύς ποτ'*] *οἰνεὺς πότ' V* | *γῆς*] *γῆς: V γῆς, UM* ‖ verba ab *αἰσχύλ λῃκύθιον* (v. 1238) usque ad *πολύμετρον* (v. 1240) in contextu omissa in margine dextro adscripsit prima manus in *M* ‖ v. 1240 *Οἰνεύς ποτ'*] *οἰνεὺς πότ' V* | *πολύμετρον*] *πολύμεστον A* | *λαβὼν*] *λαβῶν V στάχυν λαβὼν,* (tr.) *U* ‖ v. 1241 *ἀπαρχὰς*] *ἀπαρχάς· R ἀπαρχάς:* corr. prima manus ex *ἀπαρχᾶς:* in *V ἀπαρχὰς,* est in *UA ἀπαρχὰς;* in *M* ‖ v. 1242 *τίς*] *τὶς M* | *αὖθ'*] *αὐτὸν*

ΕΥΡ. ἔα αὐτόν, ὦ τᾶν· πρὸς τοδὶ γὰρ εἰπάτω.
Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο,
ΔΙΟ. ἀπολεῖ σ'· ἐρεῖ γάρ, ληκύθιον ἀπώλεσεν.
τὸ ληκύθιον γὰρ τοῦτ' ἐπὶ τοῖς προλόγοισί σου
ὥσπερ τὰ σῦκ' ἐπὶ τοῖσιν ὀφθαλμοῖς ἔφυ.
ἀλλ' ἐς τὰ μέλη πρὸς τῶν θεῶν αὐτοῦ τραποῦ.
ΕΥΡ. καὶ μὴν ἔχω γ' οἷς αὐτὸν ἀποδείξω κακὸν
μελοποιὸν ὄντα καὶ ποιοῦντα ταῦτ' ἀεί.
ΧΟΡ. τί ποτε πρᾶγμα γενήσεται;

ADNOTATIO CRITICA.

v. 1249 *οἷς* Dobraeus.

SCRIPTURAE DISCREPANTIA.

R αὖθ' *VUAM* | ὑφείλετο;] ἀφείλετο· *R* ‖ v. 1243 ἔα] ἔασον *RM* | αὐτόν,] om. *R* αὐτὸν est in *VUAM* delevit *M*² | (τᾶν *RVUAM*) | τοδὶ] τὸδι *R* τὸ δί *A* ‖ v. 1244 Ζεύς,] ζεὺς *RUAM* ζεῦς *V* | ὕπο,] ὕπο *RA* ὕπο: *V* ὕπο; *M* ‖ v. 1245 *ΔΙΟ.*] om. *R* | ἀπολεῖ σ'·] ἀπολεῖς· *RA* ἀπολεῖς *U* (ἀπολεῖ σ'. *V* ἀπολεῖ σ' *M*) | γάρ,] γὰρ *RUA* γὰρ· *V* γὰρ, *M* | ληκύθιον] ληκυθιον *V* | ἀπώλεσεν.] ἀπώλεσε· *V* ἀπώλεσε. *M* ‖ v. 1246 ἐπὶ] ἐπι *R* ‖ v. 1247 σῦκ'] σῦκ' *R* σύκ' *V* | ἐπὶ] ἐπι *R* | ὀφθαλμοῖς] ὀφθαλμοῖ *R* ὀφθαλμοῖς *V* ‖ v. 1248 τραποῦ.] τράπου. *R* τράπου⁝ *V* τράπου *U* τραποῦ· minio corr. prima manus ex τράπου· in *M* ‖ v. 1249 ἔχω γ'] ἔγωγ' *M* | οἷς] ὡς codices | ἀποδείξω] ἐπιδείξω *R* | κακὸν] corr. ex κακόν in *R* κακόν· est in *A* ‖ v. 1250 ταῦτ'] ταῦτ' *RVAM* τ' αὖτ' *U* | ἀεί.] ἀεί⁝ corr. prima manus ex ἀεὶ: in *V* ἀεὶ est in *U* ἀεὶ· in *A* ‖ in vv. 1251—1295 verba ita disposita sunt, ut singuli versus finiantur vocibus: γενήσεται | ἔχω | ἐποίσει | δὴ | ποιή (in ποιήσαντι) | νῦν ὄντων | ὅπῃ | τοῦτον | ἄνακτα | αὐτοῦ | τάχα | ξυντεμῶ | λαβών | ἀκούων | ἀρωγάν | πρόγονον | λίμναν | ἀρωγάν | τούτω | ἀτρέως | παῖ | ἀρωγάν | οὗτος | μελισσονόμοι | οἴγειν | ἀρωγάν | θροεῖν | ἀνδρῶν | ἀρωγάν | ὅσον | βούλομαι | βουβωνιῶ | μελῶν | εἰργασμένην | προστίθει | ἀχαιῶν | ἥβας | τὸ φλατ… | δυσαμεριᾶν | πέμπει | τὸ φλατ … *RV* — ὄρνις | τὸ φλατ … | παρασχὼν | ἀεροφοίτοις | τὸ φλατ . . . | αἴαντι | τὸ φλατ . . . *R* — πράκτορι | ὄρνις | τὸ φλατ… | παρασχὼν | ἀεροφοίτοις | τὸ φλατ… | αἴαντι | τὸ φλατ . . . (semper alterum) *V* — ἔχω | δὴ | νῦν ἔτ' ὄντων | τοῦτον | αὐτοῦ | τάχα | ξυντεμῶ | λαβών | ἀκούων | ἀρωγάν | λίμναν | ἀρωγάν | τούτω | παῖ | ἀρωγάν | οὗτος | μελισσονόμοι | οἴγειν | ἀρωγάν | ἀνδρῶν | ἀρωγάν | ὅσον | βούλομαι | βουβωνιῶ | μελῶν | εἰργασμένην | προστίθει | ἥβας | τὸ φλατ…(semper alterum) | πέμπει | τὸ φλατ . . . | ὄρνις | τὸ φλατ … | ἀεροφοίτοις | αἴαντι | τὸ φλατ . . . *U* — γενήσεται | ἔχω | ἐποίσει | δὴ | νῦν ὄντων | τοῦτον | αὐτοῦ | τάχα | ξυντεμῶ | λαβών | ἀκούων | ἀρωγάν | λίμναν | ἀρω-

φροντίζειν γὰρ ἔγωγ' ἔχω,
τίν' ἄρα μέμψιν ἐποίσει
ἀνδρὶ τῷ πολὺ πλεῖστα δὴ
καὶ κάλλιστα μέλη ποιή- 1255
σαντι τῶν μέχρι νυνί.
ΕΥΡ. πάνυ γε μέλη θαυμαστά· δείξει δὴ τάχα. 1261
εἰς ἓν γὰρ αὐτοῦ πάντα τὰ μέλη ξυντεμῶ. 1262
ΔΙΟ. καὶ μὴν λογιοῦμαί γ' αὐτὰ τῶν ψήφων λαβών. 1263
ΚΟΡ. θαυμάζω γὰρ ἔγωγ' ὅπη 1057
μέμψεταί ποτε τοῦτον 1258
τὸν βακχεῖον ἄνακτα, 1259
καὶ δέδοιχ' ὑπὲρ αὐτοῦ. 1260

ADNOTATIO CRITICA.

v. 1256 *μέχρι νυνί*. Meinekius scholio usus. — vv. 1257—1260 transposui post v. 1263, *αὐτοῦ* vox versus 1260 Euripidem designat. Ceterum, ut intellegas, cur vv. 1257—1260 Coryphaeo dederim, cfr. cum codicum parepigraphe: *διαύλιον προσαυλεῖ τις*, quae est ante v. 1264, Hesychium sub voce *διαύλιον*. — v. 1263 *γ' αὐτὰ* Dobraeus.

SCRIPTURAE DISCREPANTIA.

γάν | *τούτω* | *ἀτρέως* | *παῖ* | *ἀρωγάν* | *οὗτος* | *μελισσονόμοι* | *οἴγειν* | *ἀρωγάν* | *ἀνδρῶν* | *ἀρωγάν* | *ὅσον* | *βούλομαι* | *βουβωνιῶ* | *μελῶν* | *εἰργασμένην* | *προστίθει* | *ἑλλάδος ἡμᾶς* | *τὸ φλατ* . . . | *πέμπει* | *τὸ φλατ* . . . | *ὄρνις* | *τὸ φλατ* . . . | *ἀεροφοίτοις* | *τὸ φλατ* . . . | *αἴαντι* | *τὸ φλατ* . . . (alterum ubique) *A* — *φρον* (in *φροντίζειν*) | *ἀν* (in *ἀνδρὶ*) | *ποιήσαν* (in *ποιήσαντι*) | *ὅπη* | *ἄνακτα, καὶ* | *θαυμαστά* | *ξυν* (in *ξυντεμῶ*) | *ψήφων* | *ἀ* (in *ἀχιλλεῦ*) | *κόπον* | *αἰ* (in *αἰσχύλε*) | *πολυ* (in *πολυκοίρανε*) | *πελάθεις* | *οὗτος* | *πέ* (in *πέλας*) | *ἀρωγάν* | *ἀνδρῶν* | *βα* (in *βασιλεῦ*) | *οὖν* | *γὰρ* | *χά* (in *χάτέραν*) | *νό* (in *νόμων*) | *κό* (in *κόπον*) | *δίθρονον* | *πράκτο* (in *πράκτορι*) | *τὸ φλατ* . . . | *πέμπει* | *παρασχὼν* | *τὸ φλατ* (in *τὸ φλατ* . . .) | *τὸ* (in *τὸ φλατ* . . .) | *ἐκ* (v. 1296) *M* — v. 1252 *ἔγωγ'*] *ἐγώ γ'* correctum ex *ἐγὼ γ'* atque ante *ἐγώ γ'* erat *ἔχω γ'*, quod delevit prima manus in *R* ‖ v. 1253 *ἄρα*] *ἀρα R* | *μέμψιν*] *μεμψιν RV* ‖ v. 1254 *τῷ*] correctum ex *τὸ* in *R* *τῶ* est in *U* et *A* | *δὴ*] correctum ex *δῆ* in *R* ‖ v. 1256 *μέχρι νυνί.*] *ἔτι νῦν ὄντων. RVAM* *νῦν ἔτ' ὄντων U* ‖ ordo versuum 1257—1264 is est in codicibus, quem numeri supra in margine appicti indicant ‖ v. 1257 *ΚΟΡ.*] omm. codices | *ὅπη*] *όπη R* *ὅπη*: *U* *ὅπη AM* | post *ὅπη* spatium duarum fere litterarum relictum in *A* ‖ v. 1258 *μέμψεταί ποτε*] *μέμψεται ποτε R* ‖ v. 1259 *βακχεῖον*] *βακχείαν U* *βακχείων A* | post *ἄνακτα* spatium parvulum relictum est in *A* ‖ v. 1260 *ὑπὲρ*] *ὑπερ R* ‖ v. 1261 *ΕΥΡ.*] nota personae madore exstincta legi non potest in *U* | *γε*] *δὴ R* | *θαυμαστά·*] *θαυμαστὰ UAM* ‖ v. 1262 *τὰ*] *τα* in contextu omissum supra versum adscripsit prima manus

ΕΥΡ. *Φθιῶτ' Ἀχιλλεῦ, τί ποτ' ἀνδροδάϊκτον ἀκούων*
ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν;
Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν.
ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν;
ΔΙΟ. *δύο σοὶ κόπω, Αἰσχύλε, τούτω.*
ΕΥΡ. *κύδιστ' Ἀχαιῶν Ἀτρέως πολυκοίρανε μάνθανέ μου παῖ.*
ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν;
ΔΙΟ. *τρίτος, Αἰσχύλε, σοὶ κόπος οὗτος.*
ΕΥΡ. *εὐφαμεῖτε· μελισσονόμοι δόμον Ἀρτέμιδος πέλας οἴγειν.*
ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν;
κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν.

ADNOTATIO CRITICA.

v. 1265, v. 1267 e. c. *ἰὴ κόπον* Heathius. — v. 1272 *Αἰσχύλε* nescio quis primorum editorum. — v. 1276 *ὅδιον* correctum ex Aeschyli Agamemnone.

SCRIPTURAE DISCREPANTIA.

in *R* | *τὰ μέλη πάντα* (tr.) *U* ‖ v. 1263 *λογιοῦμαί γ' αὐτὰ*] *λογιοῦμαι ταῦτα RUAM λογιοῦμαι ταῦτα. V* | *ψήφων*] *ψηφων V* | *λαβών.*] corr. ex *λαβὼν.* in *R* *λαβὼν* est in *UA* *λαβὼν,* in *M* ‖ inter vv. 1263 et 1264 est : — *διαύλειον πρὸς αυλεῖ τίς* (lemma scholii: *διαύλιον διαυλεῖ τις*) *R* *δι' αὔλιον πρὸς αυλεῖ τίς* (lemma scholii: *διαύλιον πρὸς αυλεῖ τί;*) *V* *διαύλιον προσαυλεῖ τις U διαύλιον προσαυδᾷ τις* minio super *προσαυδᾷ* picto a prima manu: *προσαυλεῖ M* ‖ v. 1264 *ΕΥΡ.*] om. *R* | *Ἀχιλλεῦ,*] *ἀχιλεῦ M* | *ἀνδροδάϊκτον*] *ἀνδροδαΐκτον R ἀνδροδάϊκτον A* ‖ v. 1265 *ἰὴ κόπον*] *ιή κοπον R ἰή κοπον* (sic etiam lemma scholii) *V ἰήκοπον UA ἰήκοπον, M* | *ἀρωγάν;*] *ἀρωγὰν· U* (*ἀρωγάν· RVM ἀρωγάν A*) | vv. 1266 et 1267 omissi sunt in *M* ‖ v. 1266 *Ἑρμᾶν*] *ἑρμὰν R* | *περὶ*] *περι RU* ‖ v. 1267 *ἰὴ κόπον*] *ιή κοπον R ἰή κοπον V ἰήκοπον UA* | *ἀρωγάν;*] *ἀρωγὰν· U ἀρῶγὰν A* (*ἀρωγάν· R ἀρωγάν V*) ‖ v. 1268 *δύο*] *δύω UM* | *σοὶ*] *σοι VUM* | *τούτω*] *τούτωι R* ‖ v. 1269 et 70 *μάνθανέ μου παῖ.*] *μάνθανε παῖ· A* | v. 1271 *ἰὴ κόπον*] *ιή κοπον R ἰή κοπον V ἰήκοπον UAM* | *ἀρωγάν;*] *ἀρωγὰν· U ἀρωγὰν A* (*ἀρωγάν· RM ἀρωγάν V*) ‖ v. 1272 *Αἰσχύλε,*] *ὦσχύλέ R ὦ 'σχύλε V ὦ 'σχύλε. U ὦ 'σχύλε A ὦ αἰσχύλε M* | *σοὶ*] *σοι VUAM* ‖ v. 1273 *εὐφαμεῖτε*] *εὐφημεῖ τε V* supra *α* in *εὐφαμεῖτε* scripsit prima manus *η* in *M* ‖ v. 1275 *ἰὴ κόπον*] *ιή κοπον R ἰή κοπον V ἰήκοπον UAM* | *ἀρωγάν;*] *αρωγάν· V ἀρωγὰν· U* (*ἀρωγάν· RM ἀρωγάν A*) ‖ v. 1276 versui praefixum est: — *R* | *κύριός εἰμι*] *κύριος εἰμὶ RVM* | *ὅδιον*] *ὃς δῖον R*

ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν;
ΔΙΟ. ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν κόπων ὅσον.
ἐγὼ μὲν οὖν εἰς τὸ βαλανεῖον βούλομαι·
ὑπὸ τῶν κόπων γὰρ τὼ νεφρὼ βουβωνιῶ.
ΕΥΡ. μή, πρίν γ' ἀκούσῃς χἀτέραν ἂν σύστασιν
ἐκ τῶν κιθαρῳδικῶν νόμων εἰργασμένην.
ΔΙΟ. ἴθι δὴ πέραινε, καὶ κόπον μὴ προστίθει.
ΕΥΡ. ὅπως Ἀχαιῶν δίθρονον κράτος, Ἑλλάδος ἥβας
τὸ φλαττοθράττο φλαττόθρατ,
Σφίγγα, δυσαμεριᾶν πρύτανιν κύνα, πέμπει
τὸ φλαττοθράττο φλαττόθρατ,
σὺν δορὶ καὶ χερὶ πράκτορι θούριος ὄρνις,
τὸ φλαττοθράττο φλαττόθρατ,

ADNOTATIO CRITICA.

v. 1281 *χἀτέραν ἂν σύστασιν* scripsi deleto *μελῶν* vocabulo, quod, ante *κιθαρῳδικῶν νόμων* verba versus insequentis prorsus supervacaneum, pro interpretamento habeo. — v. 1286 *φλαττοθράττο φλαττόθρατ* scripsi Fritzschium secutus. — v. 1287 *δυσαμεριᾶν* Dindorfius.

SCRIPTURAE DISCREPANTIA.

ὅσιον VUAM (sic etiam lemma scholii in *V*) ‖ v. 1277 *ἰὴ κόπον*] *ἰή κοπον RV ἰήκοπον UAM* | *ἀρωγάν;*] *ἀρωγὰν U* (*ἀρωγάν· RAM ἀρωγάν⁝ V*) ‖ v. 1278 *βασιλεῦ,*] *βασιλευ V* ‖ v. 1279 *εἰς*] *ἐς VU* ‖ v. 1280 *ὑπὸ*] *ὑπο R* | *νεφρὼ*] *νεφρώ μου A* | *βουβωνιῶ*] *βουβονιὼ V* super *βουβωνιῶ* scriptum est: *πονῶ* in *A* *βουβωνιὼ* corr. prima manus ex *βωνιῶ* in *M* ‖ v. 1281 *μή,*] *μὴ RU μὴ, M* | *γ' ἀκούσῃς*] *γ' ἀκούσῃς VUA μ' ἀκούσεις M* | *χἀτέραν*] *χ' ἀτέραν RUA χ' ατέραν V χἀτέραν M* | *ἂν σύστασιν*] *στάσιν μελῶν RM στάσιν μελῶν· VA στάσιν μελῶν: U* ‖ v. 1282 *κιθαρῳδικῶν*] *κιθαρωδικῶν RUM* | *ἐκ τῶν κιθαρῳδικῶν νόμων*] *ἐν τῶ κιθαρωδικῶ νόμω A* ‖ v. 1283 *δὴ*] *νῦν U* | *προστίθει.*] *προστίθεσι V* ‖ v. 1284 *ΕΥΡ.*] om. *R* | ante *δίθρονον* spatium trium fere litterarum relictum in *A* | *Ἑλλάδος*] *ἑλλαδος U* | *ἥβας*] *ἥβας; U ἡμᾶς A* (*ἥβας* reliqui codices) ‖ v. 1286 *τὸ φλαττοθράττοφλάττοθράττ' R τὸ φλαττοθραττο φλαττοθρατ' V τὸ φλαττοθραττοφλαττόθρατ· U τὸ φλαττοθραττοφλαττόθρατ, A τὸ φλαττοθρατ τοφλαττόθρατ. M* ‖ v. 1287 *δυσαμεριᾶν*] *δυσαμερίαν· R δυσαμερίαν VAM δυσσαμερίαν U* ‖ vv. 1287 et 1288 post v. 1290 leguntur in *M* ‖ v. 1288 *τὸ φλάττοθράττοφλάττοθράττ'. R τὸ φλαττοθρατ τοφλαττόθρατ V το φλαττοθραττοφλαττόθρατ· U τὸ φλαττοθραττοφλαττόθρατ A τὸ φλαττοθρατ τοφλαττόθρατ. M* ‖ v. 1289 *σὺν*] *συν R* | *χερὶ*] *χειρὶ M* ‖ v. 1290 *τὸ φλάττοθραττοφλάττοθράτ' R τὸ φλαττοθραττο φλαττόθρατ. V το φλαττόθραττοφλαττόθρατ· U τὸ φλαττοθραττοφλαττόθρατ A* alterum

κυρεῖν παρασχὼν ἰταμαῖς κυσὶν ἀεροφοίτοις,
τὸ φλαττοθράττο φλαττόθρατ,
τὸ συγκλινές τ' ἐπ' Αἴαντι.
τὸ φλαττοθράττο φλαττόθρατ.
ΔΙΟ. *τί τὸ φλαττόθρατ τοῦτ' ἐστίν; ἐκ Μαραθῶνος, ἢ*
πόθεν συνέλεξας ἱμονιοστρόφου μέλη;
ΑΙΣ. *ἀλλ' οὖν ἐγὼ μὲν ἐς τὸ καλὸν ἐκ τοῦ καλοῦ*
ἤνεγκον αὔθ', ἵνα μὴ τὸν αὐτὸν Φρυνίχῳ
λειμῶνα Μουσῶν ἱερὸν ὀφθείην δρέπων·
οὗτος δ' ἀπὸ πάντων μὲν φέρει πορνῶν μελῶν,
σκολίων Μελήτου, Καρικῶν αὐλημάτων,
θρήνων, χορείων — τάχα δὲ δηλωθήσεται.

ADNOTATIO CRITICA.

v. 1301 *πορνῶν μελῶν* e coniectura scripsi; *πορνιδίων* vocabulum codicum ex glossemate natum est: *πορνίδιον γὰρ ἦν ἡ Κυρήνη* cfr. vv. 1327 et 28. — v. 1303 *χορείων* — scripsi, ipse enim Aeschylus, id quod *μὲν* post *πάντων* in v. 1301 ostendit, suae sententiae ordinem interrupit.

SCRIPTURAE DISCREPANTIA.

λ in *τοφλαττόθρατ τοφλαττόθρατ.* in rasura est, sed a prima manu in *M* ‖ v. 1291 *κυρεῖν*] *κουρεῖν V* | *ἀεροφοίτοις,*] *ἀεροφύτοις: V ἀεροφοίταις AM* (*ἀεροφοίτοις RU*) ‖ v. 1292 hic versus omissus est in *U* | *τὸ φλαττοθράττοφλαττοθράτ.* corr. prima manus ex *τὸ φλαττοθράττοθφλαττοθράτ.* in *R* in rasura, sed a prima manu est: *τὸ φλαττοθρ* in *τὸ φλαττοθρατ τοφλαττόθρατ* in *V τὸ φλαττοθραττοφλαττόθρατ* est in *A τὸ φλαττοθραττοφλαττόθρατ. M* ‖ v. 1294 *τὸ συγκλινές τ' ἐπ'*] corr. ex *συγκλινὲς τ' ἐπ'* in *R* in rasura, sed a prima manu est: *τὸ συγκλίν* in *τὸ συγκλίνες τ' ἐπ'* (etiam lemma scholii: *τὸ συγκλίνες τ' ἐπ'*) in *V τὸ σύγκλινές τ' ἐπ'* est in *A* ‖ v. 1295 *τὸ φλαττοθραττοφλαττοθράτ R* in rasura, sed a prima manu est: *τὸ φλαττοθρα* in *τὸ φλαττοθρατ τοφλαττόθρατ*: in *V το φλαττοθραττοφλαττόθρατ· U τὸ φλαττοθραττοφλαττόθρατ A τὸ φλαττοθραττοφλαττόθρατ M* ‖ v. 1296 *τί*] *τὶ M* | *τὸ φλαττόθρατ*] *φλαττοθρὰτ' R* | in rasura, sed a prima manu est: *τί τὸ φλαττόθρατ* in *V* | *ἐστίν;*] *εστὶν R ἐστὶν· V ἐστίν U ἐστὶν AM* | *ἐκ Μαραθῶνος,*] *ἐν μαραθῶνος A* | *ἢ*] *ἡ R* ‖ v. 1297 *συνέλεξας*] *ξυνέλεξας A* | *ἱμονιοστόφου*] *ιμονιοστρόφου* correctum ex *ιαονιοστρόφου* in *R* ‖ v. 1298 *ἀλλ'*] *ἀλλ R* ‖ v. 1299 *αὔθ'*] *αῦθ' R αὖθ' VUAM* | *Φρυνίχῳ*] *φρύνιχον* lemma scholii in *V φρυνίχω· U φρυνίχω A* ‖ v. 1300 *ἱερὸν*] *ἱερῶν A* | *ὀφθείην*] *ὀφθεσίην V* ‖ v. 1301 *ἀπὸ*] *ἀπο RV* | *μὲν*] *μεν V* | *πορνῶν μελῶν,*] *πορνιδίων RVUAM* ‖ v. 1302 *σκολίων*] *σκολιῶν VM σκολιῶν· A* | *Μελήτου,*] *μελίτου· A μελίτου M* | *Καρικῶν*] *καρηκῶν A* ‖ v. 1303 *χορείων* —] *χορείων·*

ἐνεγκάτω τις τὸ λύριον. καίτοι τί δεῖ
λύρας ἐπὶ τοῦτον; ποῦ 'στιν ἡ τοῖς ὀστράκοις
αὕτη κροτοῦσα; δεῦρο Μοῦσ' Εὐριπίδου,
πρὸς ἥνπερ ἐπιτήδεια τάδε γ' ᾄδειν μέλη.
ΔΙΟ. αὕτη ποθ' ἡ Μοῦσ' οὐκ ἐλεσβίαζεν, οὔ.

ADNOTATIO CRITICA.

v. 1307 *τάδε γ'* Hermannus.

SCRIPTURAE DISCREPANTIA.

RVA χορειῶν: *U* χορείων. *M* | δὲ] δε *R* ‖ v. 1304 τις] τίς *RVUA* τὶς *M* | καίτοι] corr. ex καὶ τοι in *R* | τί] τὶ *M* | δεῖ] δ' ει *R* δεῖ in contextu omissum supra lineam adscriptum a prima manu in *M* ‖ v. 1305 λύρας] corr. prima manus ex λῦρας in *V* | ἐπὶ] ἐπι *R* | τοῦτον;] τούτοῦτον· (sic) *R* (τοῦτον· *VUAM*) | ποῦ 'στιν] πού 'στιν lemma scholii in *R* ποῦστιν *V* ποῦστιν *M* ‖ v. 1306 supra prius ο in κροτοῦσα· scripsit prima manus α in *M* ‖ v. 1307 ἥνπερ] ἣνπερ *A* | ἐπιτήδεια] corr. prima manus ex ἐπιτήδειον in *R* | τάδε γ'] τά γ' ἔστ' *R* ταῦτ' ἔστ' *VAM* τάδ' ἔστ' *U* | ᾄδειν] ᾄδειν *R* ἄδειν *VU* ‖ v. 1308 αὕτη] αὕτή *U* | ποθ'] πόθ' *VAM* | Μοῦσ'] μοῦσα *A* | ἐλεσβίαζεν,] ἐλεσβίαζεν· *M* correxit in ἐλεσβίαζον; M^2 (ἐλεσβίαζεν. *R* ἐλεσβίαζεν *VU* ἐλεσβίαζεν; *A*) | οὔ.] οὔ; : (sic) *V* οὔ, *U* εὗρι (superscr. πδ) οὔ· *A* | οὔ. *ΑΙΣ.* ἀλκυόνες,] οὔ· αἰσχῦ (superscr. λ) ἀλκυόνες, scriptum erat in *M*, id quod prima manus correxit in: αἰσχῦ (superscr. λ) οὔ· ἀλκυόνες, ‖ verba in vv. 1309—1365 ita disposita sunt, ut singuli versus finiantur vocibus: θαλάσσας | στωμύλλετε | πτερῶν | δροσιζόμεναι | γωνίας | εἶ εἶ εἶ εἶ εἶ εἶ | φάλαγγες | πηνίσματα | μελέτας | δελφὶς | κνανεμβόλοις | σταδίους | ἀμπέλου | πανσίπονον | ὠλένας | ὁρῶ | ὁρῶ | ποιῶν | ψέγειν | δωδεκαμήχανον | μελοποιῶν | ἔτι | τρόπον | κελαινοφαὴς | ὄνειρον | πρόμολον | μελαίνας | ὄψιν | μελανονεκυείμονα | δερκόμενον | ἔχοντα | ἅψατε | ἄρατε | ὕδωρ (pro ἔνδον) | ἀποκλύσω | δαῖμον | ξύνοικοι | θεάσασθε | συναρπάσασα | γλύκη | ὀρεσσίγονοι | ξύλλαβε | ἔτυχον | ἔργοισι | ἄτρακτον | χεροῖν | κνεφαῖος | ἀποδοίμαν | αἰθέρα | ἀκμαῖς | κατέλιπε | ὀμμάτων | τλάμων | τέκνα | ἐπαμύνατε | ἀμπάλλετε | οἰκίαν | καλὰ | ἐλθέτω | πανταχῇ | διπύρους | λαμπάδας | ἑκάτα | γλύκης | φωράσω *R* — θαλάσσας | στωμύλλετε | πτερῶν | δροσιζόμεναι | γωνίας | φάλαγγες | καὶ | μελέτας | δελφὶς | κυανεμβόλοις | σταδίους | ἀμπέλου | ὠλένας | ὁρῶ (prius) | ποιῶν | ψέγειν | δωδεκαμήχανον | μελοποιῶν | ἔτι | ἐξελθεῖν πόνον | κελαινοφαὴς | ὄνειρον | πρόμολον | μελαίνας | ὄψιν | μελανονεκυείμονα | δερκόμενον | ἔχοντα | ἅψατε | ἄρατε | ὕδωρ (pro ἔνδον) | ἀποκλύσω | δαῖμον | ξύνοικοι | θεάσασθε | ξυναρπάσασα γλύκη | ὀρεσσίγονοι | ξύλλαβε | ἔτυχον | ἔργοισι | ἄτρακτον | χεροῖν | κνεφαῖος | ἀποδοίμαν | αἰθέρα | ἀκμαῖς | κατέλιπε | ὀμμάτων | τλά-

ΑΙΣ. *ἀλκυόνες, αἳ παρ' ἀενάοις θαλάσσας*
κύμασι στωμύλλετε,
τέγγουσαι νοτίοις πτερῶν
ῥανίσι χρόα δροσιζόμεναι·
αἵ θ' ὑπωρόφιοι κατὰ γωνίας
εἰειειειειειλίσσετε δακτύλοις φάλαγγες

ADNOTATIO CRITICA.

v. 1309 *θαλάσσας* Bergkius.

SCRIPTURAE DISCREPANTIA.

μων | *τέκνα* | *ἐπαμύνατε* | *κυκλούμενοι* | *οἰκίαν* | *καλὰ* | *ἐλθέτω* | *πανταχῇ* | *διπύροςς* | *λαμπάδας* | *ἑκάτα* | *γλύκης* | *φωράσω V* — *θαλάσσας* | *πτερῶν* | *δροσιζόμεναι* | *γωνίας* | *φάλαγγες* | *μελέτας* | *δελφὶς* | *σταδίους* | *παυσίπονον* | *τοῦτον* | *ποιῶν* | *ψέγειν* | *μελοποιῶν* | *ἔτι* | *τρόπον* | *ὄνειρον* | *πρόμολον* | *μελαίνας* | *ὄψιν* | *δερκόμενον* | *ἔχοντα* | *ἄψατε* | *ἄρατε* | *ἀποκλύσω* | *ξύνοικοι* | *θεάσασθε* | *ξυναρπάσασα* | *γλύκη* | *ξύλλαβε* | *ἔτυχον* | *ἄτρακτον* | *χεροῖν* | *κνεφαῖος* | *ἀποδοίμαν* | *αἰθέρα* | *ἀκμαῖς* | *κατέλιπε* | *ὀμμάτων* | *τλάμων* | *τέκνα* | *ἐπαμύνατε* | *οἰκίαν* | *καλὰ* | *ἐλθέτω* | *πανταχῇ* | *λαμπάδας* | *ἑκάτα* | *φωράσω U* — *θαλάσσας* | *πτερῶν* | *γωνίας* | *φάλαγγες* | *μελέτας* | *δελφὶς* | *σταδίους* | *ἀμπέλου* | *παυσίπονον* | *ὀρῶ* | *ὀρῶ* | *ψέγειν* | *μελοποιῶν* | *ἔτι* | *πόνον* (pro *τρόπον*) | *κελαινοφαὴς* | *ὄνειρον* | *αἶδα πρόπυλον* | *μελαίνας* | *ὄψιν* | *δερκόμενον* | *ἔχοντα* | *ἄψατε* | *ἄρατε* | *ἀποκλύσω* | *ξύνοικοι* | *θεάσασθε* | *ξυναρπάσασα* | *ὀρεσσίγονοι* | *ξύλλαβε* | *ἔτυχον* | *ἄτρακτον* | *χεροῖν* | *κνεφαῖος* | *ἀποδοίμαν* | *αἰθέρα* | *ἀκμαῖς* | *κατέλιπε* | *ὀμμάτων* | *τλάμων* | *τέκνα* | *ἐπαμύνατε* | *οἰκίαν* | *καλὰ* | *πανταχῇ* | *λαμπάδας* | *γλύκης* | *φωράσω A* — *ἀεν* (in *ἀεννάοις*) | *τέγγουσαι* | *δροσιζόμεναι* | *εἰειειειειλλισσε* (in *εἰειειειειλλίσσετε*) | *πηνίσματα* | *φίλαυλος* | *μαντεῖα* | *βό* (in *βότρυος*) | *τοῦτον* | *δαὶ* | *σὺ* | *δωδε* (in *δωδεκαμήχανον*) | *σου* | *μονῳδιῶν ἐξελθεῖν* | *τίνα* | *αἴ*(in *αἶδα*) | *μελαίνας* | *μελανονε* (in *μελανονεκυείμονα*) | *μεγάλους* | *ἄ* (in *ἄψατε*) | *ἄρατε, φέρ* (in *ἄρατε, φέρμετε*) | *ἀποκλύσω* | *τάδε* | *ξυναρ* (in *ξυναρπάσασα*) | *ὦ* | *προσέ* (in *προσέχουσ'*) | *ἄ* (in *ἄτρακτον*) | *κλωστῆρα* | *ἀπο* (in *ἀποδοίμαν*) | *κουφοτάταις* | *κατέλιπε* | *ἔβαλον* altero | *τόξα* | *ἀμπάλλετε* | *παῖς* | *διὰ* | *διπύρους ἀνέχου* | *παράφηνον* | *φωράσω M* — v. 1309 *αἳ*] *αἲ V* | *ἀενάοις*] *αενάοις R* *ἀεννάοις VAM* inter *ε* et *ν* in *ἀεννάοις* rasura est in *U* | *θαλάσσας*] *θαλάσσαις R* *θαλασσαις V* *θαλάσσης UAM* ‖ v. 1310 *κύμασι*] *κύμμασι A* | *στωμύλλετε,*] *στωμύλλεται: U* | post *στωμύλλετε* spatium trium fere litterarum relictum in *A* ‖ v. 1311 *νοτίοις*] *νοτεροῖ; VUAM* ‖ v. 1312 *ῥανίσι*] corr. prima manus ex *ῥανῖσι* in *V* (*νοτίοις ῥανῖσι πτερύγων χρόα δροσιζόμεναι*: lemma scholii in *V*) | post *δροσιζόμεναι* spatium duarum fere litterarum relictum in *A* ‖ v. 1313 *ὑπωρόφιοι*] *ὑπ' ωρύφιοι R* *ὑπορόφιοι V* | *κατὰ*] *κατα R* ‖ v. 1314 *εἰειειειειειλίσσετε*] *εἰειεῖειεῖεῖλλίσσετε R* *εἰειειειει-*

ἱστόπονα πηνίσματα
κερκίδος ἀοιδοῦ μελέτας,
ἵν' ὁ φίλαυλος ἔπαλλε δελ-
φὶς πρῴραις κυανεμβόλοις
μαντεῖα καὶ σταδίους.
οἰνάνθας, γάνος ἀμπέλου,
βότρυος ἕλικα παυσίπονον,
περίβαλλ', ὦ τέκνον, ὠλένας.
ὁρᾷς τὸν πόδα τοῦτον; ΔΙΟ. ὁρῶ.
ΑΙΣ. τί δέ; τοῦτον ὁρᾷς; ΔΙΟ. ὁρῶ.
ΑΙΣ. τοιαυτὶ μέντοι σὺ ποιῶν
τολμᾷς τἀμὰ μέλη ψέγειν,
ἀνὰ τὸ δωδεκαμήχανον
Κυρήνης μελοποιῶν;

ADNOTATIO CRITICA.

v. 1321 virgulam post *παυσίπονον* feci, spectat enim *ὠλένας* vocabulum versus 1322 ad *οἰνάνθας* vocem versus 1320.

SCRIPTURAE DISCREPANTIA.

